…men

…act.
…69

Theol. pract. III
Oct. 691.

# ΣΤΟΙΧΕΙΩΣΙΣ ΤΗΣ ΧΡΙ-
στιανῶν πίστεως.

# RVDIMENTA FIDEI
Christianæ.

Libellus apprime utilis, nunc primum in lucem æditus.

ἜΤΕΙ

ᾳ φ ι ε.

Ex Bibl. Univ. Vrat.

BIBL. UNIV. WRATISL.

BIBL. UNIW. WROCŁAW

## Ο ΤΥΠΟΓΡΑΦΟΣ ΤΟΙΣ ἐντευξομένοις εὖ πράττειν.

Εἰ ὁ ἡμέτερος νοῦς ἱκανὸς ἦν τὴν τοῦ θεοῦ πρὸς ἡμᾶς φιλοδωρίαν τε καὶ μεγαλοδωρίαν ἐνθυμεῖσθαι ὡς δεῖ, ἕκαστος ἡμῶν ἤθελε τοὺς τῆς διανοίας ὀφθαλμοὺς ἀνοίξας, τὰς αὐτοῦ εὐεργεσίας ἀκριβῶς σκοπεῖν, πρῶτα μὲν ἃς κοινῇ πᾶν τὸ ἀνθρώπινον γένος εὐεργετῶν διατελεῖ, εἶτα δὲ καὶ ἃς ἕνα ἕκαστον ἰδίᾳ εὖ ποιεῖ, οὐκ ἂν οὕτω τὴν αἰσχίστην ἀχαριστίας ἐνοσοῦμεν νόσον. ἐὰν γάρ τις ἅπασαν τὴν οἰκουμένην περινοστῇ, οὐδεμίαν αὐτῆς γωνίαν τῶν τοῦ θεοῦ εὐεργετημάτων ἄμοιρον οὖσαν εὑρήσει. διὸ ὥσπερ αὐτὸς οὐκ

ἀμάρτυρον ἑαυτὸν ἀφῆκεν, ὥς που φησὶν ὁ ἅγιος Παῦλος. πόθεν γὰρ ὁ τοσοῦτος τῶν τεχνῶν καὶ ἐπιστημῶν ἀριθμός, ὧν αἱ μὲν πρὸς τὸ ζῆν ἐπινενόηνται, αἱ δὲ καὶ πρὸς τὸ ἡδέως ζῆν προσεπινενόηνται; οὐχὶ ἀπὸ θεοῦ, ὃς τὴν ἐπινοητικὴν δύναμιν τῇ τῶν ἀνθρώπων φύσει ἐνεφύτευσε; διὸ καὶ ἐκεῖνος πρὸς Ἰὼβ προσδιαλεγόμενος, μετὰ πολλῶν ἄλλων λέγει καὶ τάδε, τίς ἔδωκε γυναιξὶν ὑφάσματος σοφίαν καὶ ποικιλτικὴν ἐπιστήμην; τοιγαροῦν ἐν οἷς τινὲς οἱ πρὸ ἐτῶν ὀλίγων γεγονότες, περὶ τῶν τεχνῶν καὶ ἐπιστημῶν ἐβλασφήμησαν, ἔλαθον ἑαυτοὺς λοιδοροῦντες τὸν παντοκράτορα θεόν. εἰ γὰρ τινὲς ταῖς ἐπ' ἀγαθῷ

γαθῷ τῶν ἀνθρώπων ὑπὸ θεοῦ δοθείσαις τέχναις παραχρῆσθαι ἐτόλμησαν, ἢ πέρα τοῦ δέοντος προσκαίνειν βουλόμενοι, ἐκ τῶν ὠφελιμωτάτων τεχνῶν ματαιοτεχνίας τινὰς προσειργάσαντο, ἆρα καὶ διὰ τοῦτο αὐτὰς κακολογεῖν; αὐτίκα οὖν, εἰ τοῖς ξίφεσιν οἱ ἄνθρωποι, ὅτι δὴ ἀποτεθηριωμένοι ὄντες, πρὸς ἀλληλοφθονίαν παραχρῶνται, μῶν δεῖ τῷ διδάξαντι ταῦτα θεῷ ἀγανακτεῖν; οὐδαμῶς. ἀλλὰ δεῖ λογίσασθαι ὅτι ὁ θεὸς χαλκεύσασθαι μαχαίρας καὶ ἄλλα ἀμυντήρια ὅπλα ἐδίδαξεν, ἵνα δεόντως αὐτοῖς χρώμεθα. λέγω δὲ, κατὰ θηρίων, ἐχόντων ὅπλα καὶ αὐτῶν, καὶ ταῦτα αὐτοφυῆ. τῶν

μὲν, τὰ κέρατα. τῶν δὲ, τὰς ὁπλάς. τῶν δὲ, τὰ κέντρα. ἄλλων δὲ, ἄλλα. ὡσαύτως δὲ, καὶ εἰσίν ὅτινες οὐκ ἀρκούμενοι διὰ τῆς ἀστρολογίας τὴν τῶν οὐρανῶν ἐμφαινομένην τὴν θεοῦ πρόνοιαν, ὡς περεὶ διὰ κατόπτρου, θεωρεῖν, καὶ τὰ οὐ δέοντα πολυπραγμονεῖν ἐβουλήθησαν, καὶ ἐς τὰ ἄδυτα τοῦ θεοῦ ἐπιβαίνειν, ἅτε δὴ τὰ μέλλοντα προγινώσκειν διὰ τῶν ἀστέρων πειρώμενοι. (ὥστε καὶ γέλωτα παρὰ τοῖς πολλοῖς ὀφλισκάνειν) ἄρα δεῖ μέμφεσθαι τὸν διδάξαντα τοὺς ἀνθρώπους ταύτην τὴν μάθησιν θεῷ; ἥκιστά γε. ὁμοίως δὲ καὶ περὶ τῶν λοιπῶν τεχνῶν καὶ ἐπιστημῶν ἔχοι τις ἂν εἰπεῖν. ἀλλ' οἱ τοῦ πράγματος ἐστὶ καί-

ρου

ρου ταῦτα. ὅτι δὲ νῦν λέγειν προεθέμην ἐστὶ τοῦτο, ὅτι καταγέλαστον, μᾶλλον δὲ δικαστικόν ἐστιν, ἡμᾶς παρὰ θεοῦ τοσούτων καὶ τηλικούτων εὐεργετημάτων τυγχάνοντας ἀγνωμονεῖν καὶ ἀχαριστεῖν. οὐ μόνον δὲ, ἀλλὰ καὶ τὸν αὐτοὶ εὖ πάσχοντας, αὐτὸν δρᾶν κακὰ, ὅση δύναμις. ὅπερ οὐκ ἄλλοθεν οἶμαι συμβαίνειν, ἢ διὰ τὸ ἡμᾶς λίαν τοῖς γηΐνοις προσπεπηκότας, οὐ δύνασθαι βλέπειν ἄνω, ἵνα εὐχαριστῶμεν τῷ τῶν τοσούτων ἀγαθῶν χορηγῷ, ἀλλ' οἱ μὲν τοῖς ἑαυτῶν πόνοις, ὅσα κέκτηνται, προσλογίζονται. οἱ δὲ τύχῃ, ὡς τυφλώττοντες, καὶ παντάπασι νοῦ καὶ φρονήσεως ἐστερημένοι. διὸ καὶ νῦν ἐπανελ-

θῶν ὁ ἡσαΐας ἔχοι ἂν καὶ μάλα δικαίως
ἐγκαλεῖν ἅπασιν ἀνθρώποις τὴν ἀχαρι-
στίαν ἣν τοῦ ἰσραήλ· ὅταν ὠνείδιζε τῷ λαῷ,
ταῦτα κεκραγώς, ἔγνω βοῦς τὸν κτησά-
μενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐ-
τοῦ, ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ
συνῆκεν. Οὐ μὴν ἀλλὰ καὶ διὰ τῆς ἡμετέρας
ἀχαριστίας μᾶλλον ἐμφανής ἐστιν ἡ με-
γίστη ἀγαθότης τοῦ θεοῦ. οὐ γὰρ ὁμοιοῦται
τοῖς ἀνθρώποις πάσχει, οἳ ὅταν εὐεργετή-
σαντές τινα, ὕστερον ἀμνήμονα τῶν εὐεργε-
σιῶν ἴδωσι, τοῦτον οὐκέτι εὐποιοῦντες
διατελοῦσι, μᾶλλον δὲ παντὶ σθένει κα-
κῶς ποιοῦντες. τοὐναντίον γὰρ ἐκεῖνος, καί-
τοι ἡμᾶς ἀχαριστοτάτους ὁρῶν, καὶ ἀχα-
ριστίαν

ριστίαν πάντων μάλιστα μισῶν, οὐδὲ
ἕτερον παντοδαπῶν δωρεῶν ἐμπιπλὰς
οὐ παύεται. καθ' ἑκάστην γὰρ καινῶν τι-
νῶν δωρεῶν ἡμᾶς ἀξιοῖ. οὐχ ἥκιστα δὲ ὅτι
βιβλία τὰ ἤδη ἐκ πολλῶν ἐτῶν κεκρυμ-
μένα εἰς φῶς ἄγει, μᾶλλον δὲ ἀπολωλό-
τα δίονεὶ ἀναβιώσκει, ἵνα τὴν ἀνθρώπων
ἄγνοιαν, καὶ τὸ σκότος ἐν ᾧ λανθάνουσι
πλανώμενοι, πλεῖον ἀεὶ καὶ πλεῖον ἀ-
ποσκεδάσῃ. λέγω δὲ τοῦτο διὰ πολλὰ
μοὶ καὶ ἄλλα συγγράμματα, μάλιστα
δὲ διὰ τὸ παρὸν, ὃ προσφέρω ὑμῖν. περὶ
οὗ οὐδὲν ἄλλο ἐρῶ, εἰ μὴ τόδε, ὡς εὖ οἶδα
ὅτι πᾶς ὁ ἀναγνοὺς αὐτὸ καὶ συνεὶς ἴσε-
δεῖ, μεγίστην χάριν καὶ τῷ συντάξαντι

ὅστις ποτὲ ἐκεῖνος ἦν, καὶ ἐμοὶ τοῦ τυπώ-
σαντι εἰσέτι. ὅτι δὲ ὁ τὸ βιβλίον γράψας,
εἰσάγει τὸν μὲν διδάσκαλον ἐρωτῶντα
τὸν δὲ μαθητὴν ἀποκρινόμενον, τοῦτο, ἐ-
μοί γε δοκεῖ, ἐκ τῆς παλαιᾶς συνηθείας
εἴληπται. ὅτι γὰρ ἐν τῇ ἀρχαίᾳ ἐκκλη-
σίᾳ ἔθος ἦν ἕνα ἕκαστον τῶν χριστιανῶν
περὶ τῆς πίστεως ἐρωτώμενον, πάντων
ἀκουόντων ἀποκρίνεσθαι, τοῦτο παντὶ τοῦ
δῆλον. ἀλλ᾽ ὁ μὲν ἐρωτῶν καὶ διευκρινῶν
ἕκαστα, κατηχεῖν ἐλέγετο. ὁ δὲ ἀποκρινό-
μενος καὶ μανθάνων, κατηχεῖσθαι. ἃ ῥή-
ματα ἔστιν οὐ εὑρήσεις καὶ παρὰ τοῦ Ἀπο-
στόλου. ἐνθάδε οὖν ὁ μὲν διδάσκαλος
κατηχεῖ. ὁ δὲ μαθητὴς κατηχεῖται. καὶ
ταῦτα

ταῦτα μὲν δὴ ταῦτα. ἡμέτερον δὲ ἔρ-
γον ἐστὶν, ἐπειδὴ ἀνήρηται ἐκεῖνο τὸ κάλ-
λιστον καὶ ὠφελιμώτατον τῆς πάλαι
ἐκκλησίας ἔθος, τά γε λείψανα αὐτοῦ
ὅσα εὕρομεν, προθυμοτάτῃ χειρὶ συν-
αρπάσαι, καὶ, ἵνα μὴ ταὐτὸν πάσχωμεν
τοῖς περὶ ὧν ἀρχόμενοι εἴπομεν, χά-
ριν ἔχειν τῷ ταῦτα χαρισαμένῳ ἡμῖν
Θεῷ. Ἔρρωσθε.

Ὅταν ἄκουσον, κὲν φρεσὶν βάλου λόγον.
Πάλαι μὲν ὅσοι τύγχανον πλατωνικοί,
Καὶ ὅτου νοῦν τῶν σοφῶν ἐπώνυμοι.
Αὐτοῦ ἀκριβῶς δόγματ' ἐξεμάνθανον.
Κοὐδεὶς μαθητὴς τὸν καθηγητὴν ἑὸν
Πάντων προόντων ἐξερεῖν ᾐσχύνετο.
Σὺ δὲ πλάτωνος οὐ πέλει φερώνυμος.
Θνητοῦ γε ἀνδρὸς, καὶ φρένας ἐσκοτω-
(μένου.
Καὶ οὐκ ἰδόντος φῶς ἀληθινὸν ποτέ.
Ἐπώνυμος δὲ ἐστὶ τοῦ διδασκάλου
Χριστοῦ, ὃς ἡμᾶς οὐκ ἐπαίδευσεν τέχ-
(ναις.
Δι' ὧν ἔωμεν εὐκλεεῖς παρ' ἀνδράσιν.
Ὡς-

Ὥσπερ γὰρ ἕκαστος τῶν πάλαι ποιεῖ σο-
(φῶν.
Μᾶλλον δὲ, δείξας πρὸ τοῦ ἀληθινὴν
(φάος
Διδάξειν ἡμᾶς τὴν ὁδὸν σωτηρίας.
Ἧς πρόσθε τόσοι ἄνδρες ἐξημάρτανον.
Εἶτα οὐ μέλει σοι τοῦ δὲ τῶν διδαγμά-
(των;
Αἰδώς τε τοῦτόν σοι καλεῖν διδάσ-
(καλον;
Ὅταν φόβηθι μὴ ὃν αἰσχύνῃ τανῦν,
Τρέμοντα τοῦτον ὡς καὶ σὲ ἐπαισχυνθῇ ποτέ.

# ΣΤΟΙΧΕΙΩΣΙΣ ΤΗΣ ΧΡΙ- στιανῶν πίστεως.

Διδάσκαλος. Μαθητής.

Τίς ἐστιν ὁ σκοπὸς πρὸς ὃν μάλιστα βλέποντα δεῖ ζῆν τὸν ἄνθρωπον;

Μ. τὸ τὸν θεὸν γνῶναι.

Δ. Διατί τοῦτο λέγεις;

Μ. Ὅτι ἐκεῖνος πλάσας ἡμᾶς εἰς τὸν κόσμον κατέστησεν, ἵνα ἐν ἡμῖν δοξασθῇ. καὶ μὴν καὶ εἰκὸς τῆς ἐκείνου δόξης στοχαζομένους ἡμᾶς διατελεῖν τὸν βίον. ἐπειδὴ ἀρχὴ καὶ αἰτία τούτου τυγχάνει ὤν.

Δ. τί δέ ἐστι τὸ πρῶτον καὶ μέγιστον τῶν παρ' ἀνθρώποις ἀγαθῶν;



Μ. Αὐτὸ τοῦτο.

Δ. τίνος ἕνεκα μέγιστον τοῦτ' ἀγαθὸν ὀνομάζεις;

Μ. Ὅτι ἄνευ τούτου, κάλλιον ἡμῶν τὰ ἄλογα ζῶα φέροιντο ἄν.

Δ. Ἐντεῦθεν οὖν δῆλον ὅτι οὗτός ἐστιν ὁ ἔσχατος τῆς δυστυχίας ὅρος, τὸ μὴ ζῆν ἀρεσκόντως τῷ θεῷ.

Μ. Οὕτως.

Δ. Ποία δέ ἐστιν ἡ ἀληθὴς καὶ γνήσιος τοῦ θεοῦ γνῶσις;

Μ. τὸ οὕτως αὐτὸν γνῶναι ὥστε τὴν προσήκουσαν αὐτῷ τιμὴν ἀπονέμειν.

Δ. τί ἢ ποιοῦντες, τὴν πρέπουσαν αὐτῷ προσάπτομεν τιμήν.

Μ. Ἐὰν ἐκείνῳ μόνῳ πεποιθότες ὦμεν, καὶ οὕτω σέβωμεν αὐτόν, ὥστε καὶ πάντα εὐπειθεῖς αὐτῷ εἶναι. ἔτι δὲ καὶ ἐὰν ἐκεῖνον, ἐν ἀπορίᾳ ὄντες, ἐπικαλώμεθα, καὶ εἰς αὐτὸν καταφεύγωμεν, σωτηρίαν καὶ πᾶν ἀγαθὸν παρ' αὐτοῦ προσδοκῶντες. τὸ τελευταῖον δὲ, ἐὰν οὕτω διανοώμεθα περὶ αὐτοῦ, ὡς μόνου πάντων ἀγαθῶν αἰτίου καὶ χορηγοῦ ὄντος. καὶ οὐ διανοώμεθα μόνον, ἀλλὰ καὶ ἐξαγορεύωμεν καὶ φανερὸν ἅπασι ποιώμεθα.

Δ. Ἵνα δὲ καθ' ὁδὸν ἐξετάσωμεν ταῦτα, καὶ διὰ πλειόνων διεξέλθωμεν, τί τὸ πρῶτον τῆς σῆς διαιρέσεως κεφάλαιον ἐστι;



τὸ δεῖν ἡμᾶς τῷ θεῷ πεποιθέναι.

Δ. Πῶς δὴ τοῦτο γένοιτ' ἄν;

Μ. Ἐὰν ἐκεῖνον παντοκράτορα τε καὶ πανάγαθον γινώσκωμεν ὄντα.

Δ. Ἆρά γε ἀρκεῖ τοῦτο;

Μ. Οὐδαμῶς.

Δ. Διατί;

Μ. Ὅτι οὐκ ἄξιοί ἐσμεν βοηθείας παρὰ τῆς αὐτοῦ δυνάμεως τυχεῖν, οὐδὲ τῶν τῆς ἀγαθότητος αὐτοῦ δωρεῶν ἀπολαύειν.

Δ. Τί οὖν ζητεῖται πλέον;

Μ. Τὸ ἕκαστον ἡμῶν πεπεῖσθαι ὅτι ἐκεῖνος φιλεῖ ἡμᾶς, πατήρ τε καὶ σωτὴρ ἡμῶν εἶναι ἀξιοῖ.

Δ. Πόθεν δὲ τοῦτο δῆλον ἡμῖν ἐστί;

Μ. Ἐκ τῶν ἱερῶν αὐτοῦ λογίων, ἐν οἷς τὸν ἔλεον αὐτοῦ τὸν διὰ Ἰησοῦ Χριστὸν, φανερὸν ἡμῖν ποιεῖται, τήν τε αὐτοῦ πρὸς ἡμᾶς ἀγάπην καὶ εὔνοιαν διαβεβαιοῦται.

Δ. Πᾶσα οὖν ἀνάγκη ἐστί, τὸν τῷ Θεῷ μέλλοντα πεποιθέναι, πρότερον ἐν Ἰησοῦ Χριστῷ ἐκεῖνον γνῶναι.

Μ. Πάνυ μὲν οὖν.

Δ. Τίνα δέ ἐστι ταύτης τῆς γνώσεως τὰ κεφάλαια;

Μ. Τὰ περιεχόμενα τῇ ὁμολογίᾳ τῆς πίστεως, πάντων χριστιανῶν κοινῇ οὔσῃ. ἥν γε πάντες σύμβολον τῶν ἀποστόλων ὀνομά-



ζειν εἰώθασιν, ὅτι ἔκθεσιν ἐν κεφαλαίῳ περιέχει τῆς ἀληθοῦς πίστεως τῆς παρὰ πᾶσι τοῖς χριστιανοῖς ἅπαντα τὸν ἄνωθεν χρόνον ὁμολογηθείσης, κἀκ τῆς τῶν ἀποστόλων εἰλικρινοῦς διδαχῆς μετηνεγμένης.

Δ. Λέγε μοι αὐτήν.

Μ. ΠΙΣΤΕΥΩ εἰς Θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, καὶ εἰς Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, κύριον ἡμῶν, συλληφθέντα ἐκ πνεύματος ἁγίου, γεννηθέντα ἐκ Μαρίας τῆς παρθένου. παθόντα ἐπὶ Ποντίου Πιλάτου, σταυρωθέντα, θανόντα, καὶ ταφέντα. κα-

κατελθόντα εἰς ᾅδου. τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα ἐκ νεκρῶν, ἀνελθόντα εἰς οὐρανοὺς καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρὸς παντοκράτορος. ὅθεν μέλλει ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς. Πιστεύω εἰς πνεῦμα ἅγιον. πιστεύω τὴν ἁγίαν ἐκκλησίαν καθολικήν, ἁγίων κοινωνίαν, ἄφεσιν ἁμαρτιῶν, σαρκὸς ἀνάστασιν, ζωὴν αἰώνιον. ἀμήν.

Δ. Ἵνα δὲ ταύτην τὴν ὁμολογίαν τῆς πίστεως ἀκριβέστερόν πῃ καὶ καθ' ἕκαστα διεξίωμεν, εἰς πόσα μέρη διαιρήσομεν αὐτήν;

Μ. Εἰς τέτταρα, τά γε κύρια.

Δ. Τὰ ποῖα δή;

Τὸ



Μ. Τὸ πρῶτον περὶ τοῦ θεοῦ τοῦ πατρὸς ἔσται. τὸ δεύτερον, περὶ τοῦ υἱοῦ αὐτοῦ, Ἰησοῦ Χριστοῦ. ὃ καὶ τὴν ὅλην τῆς ἡμετέρας ἀπολυτρώσεως ἱστορίαν περιέχει. τὸ τρίτον, περὶ τοῦ ἁγίου πνεύματος, τὸ δὲ τέταρτον, τῆς τε ἐκκλησίας πέρι καὶ τῶν τοῦ θεοῦ εἰς αὐτὴν εὐεργετιῶν.

Δ. Πῶς δὲ, θεοῦ γε ἑνὸς ὄντος, τρεῖς κατέλεξας, τὸν πατέρα καὶ τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα;

Μ. Ὅτι ἐν μιᾷ καὶ μόνῃ θείᾳ οὐσίᾳ ἡμῖν τὸν πατέρα σκεπτέον, ὡς πάντων ἀρχὴν καὶ πρῶτον αἴτιον ὑπάρχοντα. εἶτα τὸν υἱὸν, ὡς τὴν ἐκείνου ἀΐδιον σοφίαν

ὄντα. ἔτι δὲ τὸ ἅγιον πνεῦμα, ὡς αὐτοῦ δύναμιν τὴν διὰ πάντων μὲν διήκουσαν, ὅμως δὲ ἐν αὐτῷ ἀεὶ μένουσαν.

Δ. Ἐκ τούτου φανερὸν ὅτι οὐκ ἄτοπον τῇ αὐτῇ θείᾳ οὐσίᾳ τρεῖς ὑποστάσεις περιλαβεῖν διωρισμένως; οὐδὲν ἧττον ἀδιαιρέτου μένοντος τοῦ Θεοῦ.

Μ. Καὶ μάλα.

Δ. Λέγε δὴ νυνὶ τὸ πρῶτον μέρος.

Μ. Πιστεύω εἰς Θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς.

Δ. Πῶς αὐτὸν πατέρα καλεῖς;

Μ. Εἰς τὸν Ἰησοῦν Χριστὸν ἀποσκοπῶν, ὃς λόγος ἀΐδιός ἐστιν, ὁ γεννηθεὶς ἐξ ἐκείνου πρὸ αἰώνων. καὶ ἐς ὕστερον τοῦ κόσ-



μου φανερωθείς, ὑὸς ὢν αὐτοῦ ἐγνώσθη, καὶ δὴ καὶ ἐμαρτυρήθη. εἰ δὲ τοῦ Ἰησοῦ Χριστοῦ πατὴρ ὁ Θεός ἐστι, ταύτῃ δὴ καὶ πατέρα ἡμῶν εἶναι δῆλον.

Δ. Πῶς δὲ παντοκράτορα εἶναι νοεῖς;

Μ. Οὐκ ἐννοῶ ἐκεῖνον κράτος μὲν ἔχειν, χρῆσθαι δὲ οὔ. ἀλλὰ κτίσμα πᾶν ὑποχείριον ἔχειν, πάντα τε αὐτὸν τῇ ἰδίᾳ προνοίᾳ διέπειν, τὸν κόσμον διακυβερνῶντα ᾗ ἂν αὐτῷ δοκῇ, ὥστε μηδὲν παρ᾽ ὃ βούλεται, γίνεσθαι.

Δ. Οὐκοῦν, κατά γε τὸν σὸν λόγον, ἀργὸν τὸ τοῦ Θεοῦ κράτος ἐστί, μᾶλλον δὲ ἀεὶ τοῖς πρακτέοις ἐνεργῶς πρόσκειται, ὥστε μηδὲν τὸ παράπαν εἰ μὴ προστάξοντας οὐ

συγχωρήσαντος γε ἐκείνου γίνεσθαι;

Μ. Οὕτως.

Δ. Διατὶ δὲ ἐπάγεις ὅτι οὐρανοῦ τε καὶ γῆς ποιητής ἐστιν;

Μ. Ἐπειδὴ ἑαυτὸν ἡμῖν διὰ τῶν ἰδίων ἔργων φανερὸν ἐποίησεν, δῆλον ὅτι ἐν αὐτοῖς ὑφ᾽ ἡμῶν ζητητέος. τοῦτ᾽ ἐστιν, ὅτι ἐκ τούτων ἡμᾶς ποῖός ποτ᾽ ἐστὶ τεκμαίρεσθαι προσήκει. τὴν γὰρ ἐκείνου οὐσίαν διανοίᾳ περιλαβεῖν, ἔνι τῶν ἀδυνάτων ἐστίν. ὁ κόσμος οὖν ὥσπερ κάτοπτρόν τι πρόκειται, ἐν ᾧ κατοπτρίζεσθαι αὐτὸν δυναίμεθ᾽ ἄν, καθόσον αὐτὸν ἡμῖν γνῶναι συμφέρει.

Δ. Τῷ οὐρανῷ δὲ καὶ τῇ γῇ, οὐχὶ καὶ τὰς

λοιπὰς



λοιπὰς κτίσεις συμπεριλαμβάνεις;

Μ. Πάνυ μὲν οὖν. δυσὶ δὲ ὀνόμασι τούτοις αὗται περιέχονται, ὅτι οὐράνιαι πᾶσαι ἢ γήϊναί εἰσιν.

Δ. Διατί δὲ τὸν Θεὸν κτίστην ἐπονομάζεις ἁπλῶς, εἴγε τὸ συνέχειν τε καὶ διασώζειν ἀεὶ τὰς κτίσεις οὕτως ὥσπερ ἣν ἐξ ἀρχῆς ἔλαχον φύσιν, ταύτην εἰς τέλος διαφυλάττειν, μεῖζον πολλῷ ὑπὲρ μέτρον ἐστὶν, ἢ τὸ ἅπαξ ἐκείνας κτίσαι.

Μ. Ἀλλὰ γὰρ οὐ διὰ τούτου δηλοῦται τοῦ ὀνόματος ὅτι τὰ πάντα ἐδημιούργησεν ἵνα αὐτὰ ὕστερον ἀτημέλητα καταλίπῃ, μᾶλλον δὲ δεῖ νοεῖν ὅτι ὥσπερ τὸ καταρ-

χὰς τὸν κόσμον ἔκτισεν, οὕτω καὶ ἰθύνων τὸν ὡσαύτως ἀεὶ ἔχοντα καὶ οὐδὲ μίαν μεταβολὴν δεχόμενον διατηρεῖ. ὥστε τὸν οὐρανὸν καὶ τὴν γῆν χωρὶς τῆς αὐτοῦ δυνάμεως μηδὲ ὑφεστηκέναι δύνασθαι. πρὸς δὲ τούτοις, αὐτὸν πάντα ὑποχείρια ἔχοντα ἀνάγκη ἐστὶ πάντων κυβερνήτην καὶ δεσπότην εἶναι. διὸ καὶ καθόσον οὐρανοῦ τε καὶ γῆς δημιουργὸς τυγχάνει ὤν, νοεῖν προσήκει ὅτι καὶ ἐκεῖνός ἐστι μόνος ὁ τῇ ἑαυτοῦ ἀγαθότητι, δυνάμει καὶ σοφίᾳ ἅπασαν τὴν τοῦ κόσμου κατάστασιν διιθύνων, ὁ τούς ὄμβρους τε καὶ τοὺς αὐχμοὺς καὶ χάλαζαν ἐπιπέμπων, καὶ

μῶνά τε



μῶνά τε καὶ εὐδίαν, εὐετηρίαν καὶ ἀφορίαν, ὑγίειαν τε καὶ νόσους. συνελόντα δὲ εἰπεῖν, ἐκεῖνος ἐστὶν ᾧ πάντα πείθεται, ὥστε χρῆσθαι αὐτοῖς ὅ,τι ἂν βούληται, δύνασθαι.

Δ. Τί δαί; οἱ δαίμονες καὶ οἱ ἀσεβεῖς τῶν ἀνθρώπων, ἆρα καὶ οὗτοι ὑπ᾽ ἐκείνου ἄρχονται;

Μ. Καίπερ ἐκείνους οὐ διὰ τοῦ ἑαυτοῦ ἁγίου πνεύματι κυβερνᾷ, ὅμως ὡς ψάλιον αὐτοῖς ἐμβαλὼν, οὕτω κατέχει ὥστε μηδὲ κινεῖν ἑαυτοὺς οἵους τε εἶναι, εἰ μὴ ἐξουσίαν δόντος ἐκείνου. ἀλλὰ καὶ ὁσάκις ἄν τι προστάττειν αὐτοῖς ἐθελήσῃ, ἐκείνους τὸ κελευόμενον ποιεῖν καὶ ἄκοντας καταναγκάζει.

Δ. Τί δέ σε ὠφελεῖ τὸ ταῦτα γνῶναι;

M. Οὐκ ἐλάχιστα δῆτα. ἐλεεινὸν γὰρ ἂν εἴη τὸ τοὺς δαίμονάς τε καὶ τοὺς πονηροὺς τῶν ἀνθρώπων ἀπεργάζεσθαί τι ἄκοντος τοῦ Θεοῦ δύνασθαι, καὶ οὐδέποτε τὴν ψυχὴν ἀμέριμνον καὶ ἄφοβον εἴχομεν ἄν, ἅτε δὴ καθ' ἑκάστην ὥραν ὑπ' ἐκείνων πάσχειν τι κινδυνεύοντες. νῦν δὲ εἰδότας ἡμᾶς ὅτι ὁ Θεὸς τὴν ἐκείνων ὁρμὴν οἱονεὶ χαλινῷ τινι ἀναστέλλει ὥστε μηδὲν τοπαράπαν ποιεῖν δύνασθαι, εἰ μὴ συγχωροῦντος ἐκείνου, ἄξιον θαῤῥεῖν τε καὶ εὐφραίνεσθαι, ἄλλως τε καὶ ἐπεὶ ὁ Θεὸς ὑπερασπιστὴς καὶ ἀλεξίκακος ἡμῖν ἔσεσθαι ἐπαγγέλλεται.



Δ. Ἴθι δή, πρὸς τὸ δεύτερον μέρος μεταβαίνωμεν.

M. ΚΑΙ εἰς Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ.

Δ. Τί δὲ ἐν κεφαλαίῳ περιέχει;

M. Ὅτι τὸν τοῦ Θεοῦ υἱόν, σωτῆρα ἡμέτερον εἶναι πιστευτέον. περιέχει δὲ καὶ τὸν τρόπον ἡμᾶς τοῦ θανάτου ἀπολυτρώσας, σωτηρίαν περιεποιήσατο ἡμῖν.

Δ. Τί δὲ σημαίνει τὸ τοῦ ὄνομα Ἰησοῦς, ὅπερ ἐκεῖνον ὀνομάζεις;

Σωτῆρα δηλοῦται. ὑπ' ἀγγέλου δὲ ἐτέθη κατὰ τὸ τοῦ Θεοῦ πρόσταγμα. Ματθ. α.

Δ. Ἆρ' οὖν τοῦτο περὶ πλείονος ποιήσα-

θῆναι δεῖ, ἢ εἰ ὑπὸ ἀνθρώπων αὐτὸ ἔλαβεν;

Μ. Παντάπασι μὲν οὖν. εἰ γὰρ οὕτως ὀνομάζεσθαι αὐτὸν ὁ Θεὸς παρεγγυᾷ, τῷ ὄντι φερώνυμον ἀνάγκη εἶναι.

Δ. Τὸ δὲ χριστὸς, τί;

Μ. Ταύτῃ γε τῇ προσηγορίᾳ τί ἐστι τὸ ἐκείνου ἔργον δηλοῦται σαφέστερον. ἐκ ταύτης γὰρ ἐστι καταμαθεῖν ὅτι ὁ πατὴρ αὐτῷ ὁ οὐράνιος ἔχρισεν αὐτὸν, ἵνα βασιλέα καὶ ἀρχιερέα καὶ δὴ καὶ προφήτην καταστήσῃ.

Δ. Πῶς τοῦτο τεκμαίρεσθαι ἔχεις;

Μ. Ὅτι ἡ ἱερὰ γραφὴ ἐν τρισὶ τούτοις τῇ χρίσει εἴωθε χρῆσθαι, ὥσπερ αὐτῷ πολλαχοῦ φανερὰ ἐστὶ προστάττουσα.



Δ. Ποίῳ δὲ ἐλαίου εἴδει κέχρισται;

Μ. Οὐ τῷ ὁρατῷ γε, ᾧπερ οἱ πάλαι βασιλεῖς τε ἱερεῖς καὶ προφῆται. ἀλλὰ τοῖς τοῦ ἁγίου πνεύματος χαρίσμασιν, οὗπερ τύπος ἦν τὸ ἔξωθεν πρὶν χριόμενον πάλαι ἔλαιον.

Δ. Ποίαν δὲ βασιλείαν λέγεις;

Μ. Πνευματικὴν δηλονότι, ἐν τῷ τοῦ Θεοῦ λόγῳ τε καὶ πνεύματι καθεστηκυῖαν. ἃ δύο τήν τε δικαιοσύνην καὶ τὴν ζωὴν περιέχει.

Δ. Τίς δὲ ἐστιν ἡ ἱερωσύνη ἧς ἐμνήσθης;

Μ. Ἡ μόνη καθήκει καὶ ἔξεστι ἑαυτὴν τῷ Θεῷ παραστῆσαι, ἵνα συγγνώμονα καὶ ἵλεων αὐτὸν ἀπεργάσηται, διὰ τοῦ κεχαρισμένην αὐτῷ θυσίαν προσφέρειν.

Δ. Πῶς δὲ τὸν προφήτην τὸν χριστὸν καλεῖς;

Μ. Ὅτι καταβὰς εἰς τὸν κόσμον, τοῦ Θεοῦ ἄγγελός τε καὶ πρεσβευτὴς γνησιώτατος πρὸς τοὺς ἀνθρώπους ἦλθεν, ὅπως τὴν τοῦ ἐκείνου βουλὴν ἀκριβῶς ἐκθέμενος αὐτοῖς, πάσαις ταῖς προφητείαις καὶ ἀποκαλύψεσι τέλος ἐπιθῇ. Ἑβρ. α.

Δ. Ἄρά γε τί ἀπόνασθαι καὶ τούτων δύνασαι;

Μ. Παντάπασι μὲν οὖν. καὶ γὰρ ὁ Ἰησοῦς χριστὸς ταῦτα πάντα τὰ χαρίσματα ἔλαβεν, ἕνεκα τοῦ ἡμῖν αὐτῶν μεταδοῦναι, ἵνα πάντες ἐκ τοῦ πληρώματος



τος αὐτοῦ λαμβάνωμεν. Ἰωαν. α.

Δ. Τοῦτό μοι διὰ πλειόνων τράνωσον.

Μ. Τοῦ ἁγίου πνεύματος, ἅμα δὲ τῶν αὐτοῦ χαρισμάτων ἁπάντων ἐπληρώθη, ἵνα καὶ ἡμῖν ταῦτα χαρίσηται, καὶ διαδιδῷ ἑκάστῳ κατὰ τὸ μέτρον ὅπερ ὁ Θεὸς ἡμῖν προσῆκον οἶδεν. οὕτως οὖν ἐξ ἐκείνου, ὥσπερ ἐκ πηγῆς τινος, ἀρυόμεθα ὅσα ἔχομεν τῶν πνευματικῶν ἀγαθῶν.

Δ. Πρὸς τί δὲ ἡμῖν ἡ ἐκείνου βασιλεία χρησίμη;

Μ. Ἵνα δι᾽ αὐτοῦ ἐξελευθερωθείσας τὰς συνειδήσεις ἔχοντες, καὶ τὸν πνευματικὸν πλοῦτον πλουτισθέντες, ὅσιον καὶ

ἄμεμπτον διάγωμεν βίον. πρὸς τούτοις δὲ καὶ δύναμιν λαμβάνωμεν κατὰ τὸν διάβολον, ἁμαρτίαν τε καὶ σάρκα καὶ τὸν κόσμον καταπαλαίειν; οἷς ἀδιάλλακτος ἔχθρα μετὰ τῶν ἡμετέρων ψυχῶν ἐστίν.

Δ. Ἡ δὲ ἱερωσύνη εἰς τί ἡμῖν συμφέρει;

Μ. Πρῶτον μὲν καθόσον διὰ ταύτης, τῆς τοῦ μεσιτεύειν ἐξουσίας τετυχηκώς, ἡμᾶς πρὸς τὸν αὐτοῦ πατέρα διαλλάττει. εἶτα δὲ καὶ ὅτι δι᾽ ἐκείνου ἐξουσίαν ἔχομεν καὶ ἡμεῖς τῷ αὐτοῦ Θεῷ προσελθεῖν, καὶ ἡμᾶς αὐτοὺς ἅμα τοῖς παρ᾽ ἡμῶν ἅπασιν εἰς θυσίαν αὐτοῦ προσενεγκεῖν. καὶ οὕτω πως ἡμεῖς τοῦ αὐτοῦ ἱερατικοῦ ἀ-

ξιώμα-



ξιώματος συμμετέχομεν αὐτοῦ. Ἑβρ. ε. ζ. η. θ. ι.

Δ. Λοιπὸν ἐστὶ περὶ τῆς προφητείας λέγειν.

Μ. Ἐπειδὴ ὁ κύριος Ἰησοῦς δεσπότης καὶ διδάσκαλος τῶν πιστῶν κατεστάθη, τοῦτον ἔχει προκείμενον τὸν σκοπὸν, τὸ εἰς τὴν τοῦ πατρὸς καὶ τῆς αὐτοῦ ἀληθείας γνῶσιν ἐκείνους ἀγαγεῖν, ὥστε οἰκείους τοῦ Θεοῦ μαθητὰς γίνεσθαι.

Δ. Ἐκ τούτων δήπου συμπεραίνεσθαι θέλεις ὅτι τοῦτο τοὔνομα, Χριστὸς, τὰ τρία ἔργα τὰ παρὰ τοῦ Θεοῦ αὐτοῦ ἐπιδοθέντα περιλαμβάνει, ἵνα τῆς ἐκ τούτων ἐνεργείας καὶ ὠφελείας μεταδῷ τοῖς οὖσιν αὐτοῦ.

Μ. Πάνυ γε.

Δ. Διατί δὲ τὸν υἱὸν τοῦ Θεοῦ μονογενῆ ὀνομάζεις, τοῦ Θεοῦ ἡμᾶς ἅπαντας τοῖς ἑαυτοῦ υἱοῖς ἐγγράφοντος;

Μ. Ὅτι οὐ φύσει τοῦ Θεοῦ υἱοὶ ἐσμέν, ἀλλὰ υἱοθεσίᾳ μόνον καὶ χάριτι, ἤγουν ἐφ᾽ ὅσον ἡμᾶς υἱῶν ἑαυτοῦ τάξιν ἐπέχειν ἀξιοῖ. ὁ δὲ κύριος Ἰησοῦς ὁ γεννηθεὶς ἐκ τῆς τοῦ πατρὸς οὐσίας, κἀκείνῳ ὁμοούσιος ὤν, εἰκότως υἱὸς μονογενὴς καλεῖται, οὐδεὶς γὰρ ἄλλος φύσει υἱὸς τοῦ Θεοῦ ἐστίν.

Δ. Τοῦτ᾽ οὖν λέγεις, ὅτι ἐκείνῳ μόνῳ αὕτη ἡ τιμὴ προσήκει, ἧς καὶ φύσει ἔλαχεν. ἡμῖν δὲ ταύτης μεταδίδωσι δωρεάν, καθ᾽ ὅσον τὰ ἐκείνου μέλη ἐσμέν.



Μ. Ἔγωγε. ὃ δὴ καὶ διὰ ταύτην τὴν κοινωνίαν ἔστιν οὗ πρωτότοκος ἐν τοῖς ἀδελφοῖς πολλοῖς καλεῖται.

Δ. Πῶς δὲ κύριος ἐστὶν ἡμέτερος;

Μ. Καθ᾽ ὅσον ὑπὸ τοῦ πατρὸς κατεστάθη, ὅπως ἡμῶν κρατῇ καὶ κυριεύῃ, τήν τε αὐτοῦ ἀρχὴν καὶ βασιλείαν ἐν τῷ οὐρανῷ καὶ τῇ γῇ διέπῃ. ἔτι δὲ καὶ ὅπως τῶν ἀγγέλων καὶ τῶν πιστῶν προστάτης καὶ ἡγεμὼν ὑπάρχῃ.

Δ. Τί δὲ τὸ ἑξῆς δηλοῖ;

Μ. Ἐκτίθεται τίνα τρόπον ὁ τοῦ Θεοῦ υἱὸς κέχρισται ὑπὸ τοῦ πατρός, ἵνα ἡμέτερος ᾖ σωτήρ. ἤγουν ὅτι περιέθετο τὴν ἡ-

μετέραν ἀνθρωπίνην σάρκα, καὶ ὅσα τῇ ἡμετέρᾳ σωτηρίᾳ ἀναγκαῖα ἦν ἀποτελέσαι· ἅτινα καὶ ἐνταῦθα καταλέγεται.

Δ. Τί δὲ αὗται αἱ δύο ῥήσεις δηλοῦσι, συλληφθέντα ἐκ πνεύματος ἁγίου, γεννηθέντα ἐκ Μαρίας τῆς παρθένου.

Μ. Ὅτι ἐπλάσθη μὲν ἐν τῇ τῆς παρθένου Μαρίας γαστρί, ἐκ τῆς οὐσίας ἐκείνης, ὡς ἂν αὐτὸ τὸ τοῦ Δαβὶδ σπέρμα εἴη, συμφώνως ταῖς προφητείαις. οὕτω δὲ ὅμως ἐπλάσθη, ὥστε μὴ πρὸς γέννησιν δεηθῆναι τῆς τοῦ ἀνδρὸς μετὰ γυναικὸς συνουσίας, ἀλλὰ τῇ θαυμαστῇ τινι καὶ ἀρρήτῳ τοῦ ἁγίου πνεύματος γεγενῆσθαι δυνάμει.

Οὐκοῦν



Δ. Οὐκοῦν τὴν ἡμετέραν σάρκα ἐκεῖνον ἐνδύσασθαι ἀνάγκη ἦν;

Δ. Ναί· τὴν γὰρ τοῦ ἀνθρώπου ἁμαρτάδα, τὴν διὰ τὸ ἀνηκουστῆσαι τῷ Θεῷ γενομένην, ἀκέσασθαι ἐν τῇ ἀνθρωπίνῃ φύσει ἐχρῆν. αὐτὸς οὐκ ἂν ἄλλως ἡμέτερος μεσίτης εἶναι οἷός τε ἦν, πρὸς τὸ ἡμᾶς Θεῷ τῷ πατρὶ διαλλάξαι.

Δ. Λέγεις οὖν ὅτι τὸν Ἰησοῦν Χριστὸν ἄνθρωπον γίνεσθαι ἀναγκαῖον ἦν, ἵνα τὴν ἡμετέραν περικείμενος φύσιν, τὰ ἡμῖν καθήκοντα πρὸς τὴν τοῦ ἁμαρτήματος ἐπανόρθωσιν ἀντὶ ἡμῶν ἐπιτελέσῃ;

Μ. Πάνυ γε. πᾶν γὰρ ὃ ἐνδεῖ ἡμῖν, ἐν αὐτῷ χρὴ ἡμᾶς ἀνακτήσασθαι. τοῦτο δὲ

οὐκ ἄλλως ἢ οὕτως ἐγεγόνει ἄν.

Δ. Διὰ τί δὲ τῇ τοῦ ἁγίου πνεύματος δυνάμει τοῦτο πέπρακται, οὐχὶ δὲ κατὰ τὸ συνῆθες καὶ τὸ φυσικὸν τῆς γεννήσεως ἔργον;

Μ. Ἐπειδὴ τὸ ἀνθρώπινον σπέρμα παντελῶς ἀφ᾽ ἑαυτοῦ διεφθαρμένον ἐστίν, ἔδει τὴν τοῦ ἁγίου πνεύματος δύναμιν τῆς κυήσεως ταύτης ἐπιμελεῖσθαι, ὅπως ἂν τὸν κύριον ἡμέτερον ἄχραντον καὶ ἀμίαντον διαφυλάττοι, καὶ πάντη πάντως ἅγιον ἀποτελοῖ.

Δ. Ἐκ τούτων ἄρα εὔδηλον ὅτι ὁ τοὺς ἄλλους ἁγιάζειν μέλλων, παντάπασιν

ἄσπιλος



ἄσπιλός ἐστι, καὶ τῇ μητρῴᾳ ἐγκαθειργμένος γαστρί, ἤδη τῷ θεῷ καθιέρωτο, μηδὲν ἐκ τῆς τοῦ ἀνθρωπείου γένους διαφθορᾶς μόλυσμα ἐφελκυσάμενος.

Μ. Ἔμοιγε δοκεῖ.

Δ. Τίνος δὲ ἕνεκα ἀπὸ τῆς γενέσεως εὐθὺς ἐπὶ τὸν θάνατον αὐτοῦ μεταβαίνεις, ὅλην τὴν ἐν μέσῳ περὶ τοῦ βίου αὐτοῦ ἱστορίαν παραλιπών;

Μ. Ὅτι περὶ οὐδενὸς ἄλλου ἐνταῦθα πρόκειται λέγειν, ἢ ὅ,τι ἂν τοῦ τῆς ἀπολυτρώσεως ἡμῶν μυστηρίου ἐχόμενον ᾖ.

Δ. Τίνος δὲ χάριν οὐχ ἁπλῶς λέγεται ὅτι τέθνηκεν, ἀλλὰ καὶ τὸ τοῦ Ποντίου

Πιλάτου ὄνομα προστίθεται, ἐφ' οὗ ἀπέθανεν;

Μ. Οὐ μόνον δὴ ἐφ' ᾧ ταύτην πιστώσασθαι τὴν ἱστορίαν, ἀλλὰ καὶ ἵνα εἰδῶμεν ὅτι θάνατον κατακριθεὶς, θάνατον ὑπέμεινεν.

Δ. Ταῦτά μοι διευκρίνησον.

Μ. Ἀπέθανεν ὅπως ἣν ὠφειλόμεθα δίκην ἐκτίσαιτο, καὶ οὕτως ἡμᾶς τῆς αἰτίας ἐξέλοιτο. ἐπειδὴ γὰρ τῇ τοῦ Θεοῦ κρίσει ὑπόδικοι ἦμεν, διὰ δὴ ἁμαρτωλοὶ ὄντες, ἠθέλησεν αὐτὸς ἀντὶ ἡμῶν, ἐπιγείῳ δικαστῇ προσιὼν, ὑπ' αὐτοῦ καταδικάζεσθαι, ὡς ἂν ὁ οὐράνιος κριτὴς ἡμῶν ἀποψηφίσηται.



Δ. Ἀλλὰ γὰρ ὁ Πιλάτος ἀνεύθυνον ἀποφαίνεται αὐτόν· οὐ καταδικάζει οὖν ὡς θανάτῳ ἔνοχον ὄντα.

Μ. Δύο χρὴ ἐνταῦθα σκοπεῖν. ἓν μὲν, ὅτι ὑπὸ τοῦ κριτοῦ ἀθῷος εἶναι μαρτυρεῖται, ἵνα πᾶσι φανερὸν ᾖ ὅτι οὐχ ὑπὲρ τῶν ἰδίων πλημμελημάτων, ἀλλ' ὑπὲρ τῶν ἡμετέρων κόλασιν ὑπέχει. ἕτερον δὲ, ὅτι καίτοι τοιοῦτος εἶναι ὑπὸ τοῦ δικαστοῦ μαρτυρηθεὶς, ὑπ' αὐτοῦ καὶ τὰ πάξια κατακρίνεται, ἵνα γνῶμεν ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν ἐγγυητὴς κατέστη, καὶ κατεκρίθη ἵνα ἡμᾶς τῆς αἰτίας ἀφείη.

Δ. Ὀρθῶς. ἁμαρτωλὸς γὰρ ὤν, οὐκ ἂν

ἀξιόχρεως ἐγένετο διὰ τοῦ ἰδίου θανάτου τὸ ἡμέτερον ἀποδιδόναι ὄφλημα. ὅμως δὲ, ἵνα τὸν θάνατον καταλύσῃ καὶ τῆς αὐτοῦ δυναστείας ἡμᾶς ἐλευθερώσῃ, ἔδει αὐτὸν μετὰ τῶν ἀδίκων ταχθῆναι.

Μ. Οὕτως.

Δ. Τί δὲ τὸ σταυρωθῆναι αὐτὸν, μᾶλλον ἂν ὠφελεῖ ἡμᾶς, ἤπερ εἰ ἄλλο τι θανάτου εἶδος ὑπέμεινε;

Μ. Μάλιστα, ὥσπερ καὶ ὁ ἀπόστολος ἡμᾶς διδάσκει, λέγων αὐτὸν τὸν διὰ σταυροῦ καταδέξασθαι θάνατον, καὶ ἐπὶ ξύλῳ προσηλωθῆναι, ὡς ἂν κατάραν ἥνπερ ἡμεῖς ὑποκείμενοι ἦμεν, ἀφ᾽ ἡμῶν μετενέγκας

μετενέγκας



μετενέγκας εἰς ἑαυτὸν ἀναδέχοιτο, καὶ ταύτην διὰ τοιούτου θανάτου εἴδους, ὃ παρὰ θεῷ ἐπικατάρατον ἦν, λύσοι.

Δ. Πῶς φῄς; οὐχὶ τοῦτό ἐστι τὸν θεοῦ υἱὸν καταισχύνειν, τὸ λέγειν αὐτὸν ἀρᾶς ἔνοχον γεγονέναι, καὶ ταῦτα παρὰ θεῷ;

Μ. Οὐδαμῶς. ἀναδεξάμενος γὰρ τὴν κατάραν, κατέλυσεν αὐτὴν τῇ ἑαυτοῦ δυνάμει. οὐδὲ ἐμπόδιον αὐτῇ ἐγένετο τὸ μὴ εὐλογητὸν αὐτὸν ὄντα διαμένειν, ὅπως τῆς αὐτοῦ εὐλογίας ἡμᾶς ἀναπληροῖ.

Δ. Διήγησαι τὰ ἑξῆς.

Μ. Ἐπειδὴ ὁ θάνατος τοῖς ἀνθρώποις τέτακτο τῶν ἀδικημάτων ἐπιτι-

μιον, τοῦτον ὑπέμεινεν ὁ χριστός. ὑπομεί-
νας δὲ, κρείττων αὐτοῦ γέγονε. καὶ ἵνα φα-
νερὸν ἡμῖν ποιήσηται ὅτι ἀληθὴς καὶ οὐ
προσποιητὸς ὁ θάνατος αὐτοῦ ἦν, τάφῳ
παραδοθῆναι τῶν ἄλλων ἀνθρώπων δί-
κην, ἠθέλησε.

Δ. Ἀλλὰ γὰρ αὕτη ἡ νίκη οὐδενὸς ἀ-
γαθοῦ πρόξενος δοκεῖ γεγονέναι, ἐπεὶ
οὐδὲν ἧττον ἢ πρότερον, τὸ ἀνθρώπινον
γένος θανάτῳ ὑπόδικον ἔτι διατελεῖ.

Μ. Οὐ κωλύει τοῦτο ἐκ ταύτης ὠφε-
λεῖσθαι ἡμᾶς. ὁ γὰρ νῦν τῶν πιστῶν θάνα-
τος οὐδὲν ἄλλο ἐστὶν, ἢ μετάβασις εἰς ἀ-
μείνω βίον.

Μανθά-



Δ. Μανθάνομεν οὖν ἐκ τούτων, ὅτι οὐ-
κέτι δεῖ τὸν θάνατον ἐν ὀῤῥωδίᾳ ἔχειν, ὡς
δεινὸν ὄντα, ἀλλ᾽ ἀκολουθητέον προθύ-
μως τῷ ἡγεμόνι ἡμῶν Ἰησοῦ χριστῷ. ὃς
καθάπερ διὰ τοῦ θανάτου οὐκ ἀπώλετο,
οὕτως οὐδ᾽ ἡμᾶς ἀπολέσθαι ἐάσει.

Δ. Ὀρθῶς λέγεις.

Μ. Τί δὲ βούλεταί σοι τὸ περὶ τῆς εἰς
ᾅδου καταβάσεως αὐτοῦ ἐπιφερόμενον;

Δ. Ὅτι τὸν κατὰ φύσιν θάνατον οὐχ ὑ-
πέμεινε μόνον, ὅς ἐστι τῆς ψυχῆς ἀπὸ τοῦ
σώματος λύσις καὶ χωρισμός, ἀλλὰ καὶ
ὅτι ἐν αὐτῷ ἡ ἐκείνου ψυχὴ ἐστενοχω-
ρεῖτο, καὶ ἐσχάταις ἀλγηδόσι κατεπονεῖ-
το, ὡς ὁ ἅγιος Πέτρος τοὺς θανά-

του ὠδῖνας ὀνομάζει. Πραξ. β.

Δ. Διατί δὲ πῶς τοῦτο γέγονεν;

Μ. Ἐπειδὴ παρὰ τοῦ Θεοῦ δικαστηρίῳ προσῆκε τὸ τῶν ἁμαρτωλῶν χρέος ἐκτίσειν, ἔδει τὴν αὐτοῦ ψυχὴν μεγίστῃ ἀπορίᾳ κατέχεσθαι καὶ μεγίσταις ὀδύναις καταπιέζεσθαι, ὡς τοῦ Θεοῦ ἀμελοῦντος αὐτοῦ, μᾶλλον δὲ καὶ αὐτῷ ὀργιζομένου. οὕτω γοῦν ἀλύων ἀνεβόησε, Θεέ μου, Θεέ μου ἵνατί με ἐγκατέλιπες;

Δ. Ἆρα οὖν ὁ Θεὸς ἐκείνῳ ἐχαλέπαινεν;

Μ. Οὐδαμῶς. ἀλλ᾽ ἔδει ὅμως τοσούτοις περιβάλλεσθαι κακοῖς, ὡς ἂν τὸ ἄνω-

ωθεν



θεν ὑπὸ τοῦ Ἠσαΐου προρρηθὲν πιστωθείη, τὸ δηλαδὴ τραυματισθῆναι αὐτὸν ὑπὸ τοῦ πατρὸς διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ τὰς ἡμετέρας ἀνομίας βαστάσαι.

Δ. Πῶς δὲ, Θεὸς ὢν, οὕτως ὠρρώδει ὡς ὑπὸ Θεοῦ περιορώμενος καὶ ἀμελούμενος;

Μ. Δεῖ δὴ ἐννοεῖν ὅτι καθόσον μὲν ἄνθρωπος ἦν, ἅμα δὲ καὶ ἀνθρωπίνοις πάθεσιν ἔνοχος, τοσαύτῃ ἀπορίᾳ κατείχετο, διονεὶ ἀποκρυπτομένης ἐν τῷ μεταξὺ τῆς αὐτοῦ θεότητος, ἤτοι τὴν ἑαυτῆς δύναμιν οὐ φανερούσης.

Δ. Πῶς δὲ οἷόν τε ἦν τὸν Χριστὸν, τὸν κόσμου σωτῆρα ὑπάρχοντα, τοιαύτῃ κατα-

κρίσει καὶ ἀρᾷ ἔνοχον εἶναι;

Μ. Οὐχ οὕτω κατεκρίθη, ὥστε ἀεὶ κατάκριτος μένειν. καὶ γὰρ καί τοι ἀγωνιῶν καὶ ἀδημονῶν ἦν, ὡς εἰρήκαμεν, οὐκ ἀπηγόρευσεν ὅμως ὑπὸ ἀδημονίας, ἀλλὰ τῇ τοῦ ᾅδου δυναστείᾳ ἐπολέμησεν οὕτως ὥστε αὐτὴν καταπολεμῆσαι.

Δ. Ἐκ τούτων οὖν καθορῶμεν πόσῳ ἡ λύπη καὶ ἀθυμία ἣν ἐν τῇ συνειδήσει ἔχουσιν οἱ ἁμαρτωλοὶ τῶν ἀνθρώπων, οὓς ὀργιζόμενος ὁ Θεὸς δίκας εἰσπράττεται, διαφέρει ἐκείνης ἧς ᾔσθετο αὐτός· τὸ γὰρ ἐν αὐτῷ πρόσκαιρον γεγονός, ἐκείνοις διηνεκές ἐστιν. καὶ ὃ αὐτὸν κέντρου

τινὸς



τινὸς δίκην ἔνυξε μόνον, ἐκείνους οἷά τις μάχαιρα, μεγάλην καὶ καίριον πληγὴν τιτρώσκει.

Μ. Ἀληθῆ ταῦτα. ὁ γοῦν Ἰησοῦς Χριστὸς ἐπὶ τῷ Θεῷ ἐλπίδας ἔχων οὐκ ἐπαύσατο, καί τοι σφόδρα ἀδημονῶν καὶ σφαδάζων. οἱ δὲ ἁμαρτωλοί, οὓς καταδικάζει ὁ Θεός, τῆς αὐτοῦ εὐνοίας ἀπεγνωκότες, οὐ μόνον ἐκείνῳ ἀγανακτοῦσιν, ἀλλὰ καὶ εἰς τοσοῦτον ὕβρεως ἥκουσιν ὥστε καὶ βλασφημεῖν κατ᾽ αὐτοῦ.

Μ. Οὐκοῦν ἐκ τούτων καταμαθεῖν ἔστι τί ἐκ τοῦ θανάτου τοῦ Χριστοῦ ὄφελος προσγίνεται;

Μ. Μάλιστα. πρῶτον μὲν γὰρ ὁρῶμεν ὅτι θυσία ἐστὶ καὶ προσφορά, δι' ἧς ἐκεῖνος τὰ ὑφ' ἡμῶν ὀφειλόμενα τῷ Θεῷ ἀπέτισε, τήν τε αὐτοῦ ὀργὴν κατεπράϋνε, καὶ ἡμᾶς αὐτῷ κατήλλαξεν. εἶτα δὲ καὶ ὅτι τὸ ἐκείνου αἷμα λουτρόν ἐστι τὸ πᾶσαν τὴν ἐν ταῖς ἡμετέραις ψυχαῖς κηλῖδα ἀποκαθαῖρον. καὶ τέλος δή, τὰς ἡμετέρας ἁμαρτίας διὰ τοῦ θανάτου ἐκείνου λήθῃ παραδοθείσας, ἐφ' ᾧ μηκέτι εἰς μνήμην ἐλθεῖν τῷ Θεῷ, καὶ τὸ καθ' ἡμῶν χειρόγραφον ἐξηλειμμένον γινώσκομεν.

Δ. Ἄρά γε καὶ ἄλλο τι ἀγαθὸν ἀπολαύομεν τῷδε;

Πάνυ



Μ. Πάνυ μὲν οὖν. εἰ γὰρ ἀληθῆ τοῦ Χριστοῦ μέλη ἐσμέν, ὁ ἡμέτερος παλαιὸς ἄνθρωπος ἐσταυρώθη, ἥτε σὰρξ ἡμῶν νενέκρωται, ἵνα μηκέτι κακαῖς ἐπιθυμίαις δουλεύωμεν.

Δ. Μεταβαίνωμεν πρὸς τὰ ἑξῆς.

Μ. Τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη. ἐκ τούτου δὲ τὴν ἁμαρτίαν καὶ τὸν θάνατον δῆλός ἐστι νενικηκώς. τῇ γὰρ αὐτοῦ ἀναστάσει τὸν θάνατον κατέπιε, καὶ τὰ τοῦ Διαβόλου δεσμὰ κατέῤῥηξε καὶ ἠφάνισε.

Δ. Ποσαχῶς δὲ ὠφελούμεθα ταύτῃ τῇ ἀναστάσει;

Μ. Τριχῶς. πρῶτον μὲν γὰρ δι' ἐκείνης

πάντως ἐδικαιώθημεν. εἶτα δὲ τοῦ οἰκείου σώματος ἀνάστασιν ἐχέγγυον ἡμῖν ἔδωκε τῆς μελλούσης ἡμῖν γίνεσθαι ἀναστάσεως καὶ ἀθανασίας. πλὴν τούτων δὲ, εἰ ἐκείνης ἀληθῶς μετέχομεν, ἤδη καὶ τὸ ἀπὸ τοῦδε εἰς καινὸν τινα βίον ἀνιστάμεθά πως, ἵνα ὁσίως σεβώμεθα τὸν θεὸν καὶ τὰ ἀρέσκοντα αὐτῷ πράττωμεν.

Δ. Προΐωμεν δή.

Μ. Εἰς τὸν οὐρανὸν ἀνέβη.

Δ. Τί οὖν; οὕτως ἀνέβη ὥστε μηκέτι ἐπὶ τῆς γῆς εἶναι;

Μ. Ναί. αὐτὸν γὰρ πάντα τὰ ὑπὸ τοῦ πατρὸς προστεταγμένα, καὶ πᾶν ὅ,τι πρὸς τὴν ἡμετέραν σωτηρίαν ἀναγκαῖ-



ον ἦν τελέσαντα, οὐκέτι τῷ κόσμῳ ἐνδιατρίβειν ἔδει.

Δ. Πῶς δὲ ἡμᾶς ἡ ἀνάβασις ἐκείνη ὠφελεῖ;

Μ. Κατὰ δύο τρόπους. ἐπειδὴ γὰρ ὁ Ἰησοῦς Χριστὸς εἰς τὸν οὐρανὸν διὰ ἡμᾶς ἀνέβη, ὥσπερ διήπυθεν τῇ ἡμετέρᾳ εὐνοίᾳ ἐκεῖθεν καταβεβήκει, δῆλον ὅτι προοδοποιεῖ ἡμῖν πρὸς τὴν ἐκεῖσε ἀνάβασιν. ὥστε καὶ ἀνεῳχθῆναι ἡμῖν ἤδη τὴν πύλην, ἥτις πρότερον διὰ τὰς ἡμετέρας ἁμαρτίας ἐκέκλειστο. πρὸς δὲ τούτοις, τῷ πατρὶ παρεδρεύει, κἀκεῖ ἡμῖν συνηγορῶν καὶ ὑπὲρ ἡμῶν ἐντυγχάνων οὐ παύεται;

Δ. Ἀλλὰ γὰρ πότερον δὲ ὅτου εἰς τὴν

οὐρανὸν ἀνέβη ὁ Ἰησοῦς Χριστὸς, οὕτω τοῦ κόσμου ἀπεχώρησεν, ὥστε μηκέτι ἡμῖν ἐπιδημεῖν;

Μ. Ἥκιστα. πᾶν γὰρ τοὐναντίον, ὑπέσχετο ἡμῖν συγγενήσεσθαι μέχρι τῆς συντελείας τοῦ αἰῶνος.

Δ. Ἆρα οὖν σωματικῇ τινι παρουσίᾳ συνομιλεῖ ἡμῖν;

Μ. Μηδαμῶς. Διαφέρουσι γὰρ τό τε σῶμα αὐτοῦ τὸ εἰς τὸν οὐρανὸν ἀναληφθὲν καὶ ἡ δύναμις αὐτοῦ ἡ διὰ πάντων διήκουσα.

Δ. Τί δὲ ἡμῖν παραδηλοῖ τὸ αὐτὸν ἐκ δεξιῶν τοῦ πατρὸς καθέζεσθαι;

Μ. Ὅτι γῆς τε καὶ οὐρανοῦ τοὺς οἴακας ἐπι-



ἐπιτέτραπται, ἵνα πάντα διοικῇ.

Δ. Τί δὲ ἡ δεξιὰ καὶ τὸ καθέζεσθαι σημαίνουσι;

Μ. Λέγεται ταῦτα ἀπὸ μεταφορᾶς τῶν ἐπιγείων ἀρχόντων, οἵτινες ἐκ δεξιῶν αὐτῶν καθίζειν εἰώθασιν οὓς προτιμηκότας καθιστᾶσιν, ὡς παραχωρήσαντες αὐτοῖς τῆς ἑαυτῶν ἀρχῆς.

Δ. Οὐδὲν οὖν ἄλλο συνίησι, ἢ τὸ ὑπὸ τοῦ ἁγίου Παύλου λεγόμενον, ὅτι δηλαδὴ κεφαλὴ τῆς ἐκκλησίας κατεστάθη ὁ Χριστὸς, ὑπεράνω ὢν πάσης ἀρχῆς, καὶ ὄνομα λαβὼν τὸ ὑπὲρ πᾶν ὄνομα.

Μ. Ἔστι ταῦτα.

Δ. Πρόϊθι δή.

Μ. Ὅθεν μέλλει ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς. τοῦτο δὲ δηλοῖ ὅτι ἐνώπιον πάντων ἐξ οὐρανοῦ καταβήσεται κρίσιν ποιήσεσθαι μέλλων, ὡς πρότερον εἰς αὐτὸν ἐνώπιον πάντων ἀνέβη.

Δ. Τῆς δὲ κρίσεως ἐπὶ τῆς συντελείας τοῦ κόσμου ποιεῖσθαι μελλούσης, πῶς φὴς ὅτι ἄλλοι μὲν τότε ζωοὶ ἔτι, ἄλλοι δὲ τεθνηκότες ἔσονται, εἴ γε ἅπασιν ἀνθρώποις πέπρωται ἅπαξ θανεῖν; Ἑβρ. θ.

Μ. Λύει τοῦτο τὸ ζήτημα ὁ ἅγιος Παῦλος, λέγων ὅτι ὅσοι ζωοὶ εὑρεθήσονται τότε, ἐν ἀτόμῳ ἀλλαγήσονται, ἵνα τὸ φθαρτὸν ἐκείνων ἐνδύσηται ἀφθαρσίαν.



Δ. Ἆρα οὖν δοκεῖς ταύτην τὴν μεταβολὴν θανάτῳ ὁμοίαν μέλλειν ἔσεσθαι, ὅτι τὴν προτέραν αὐτῶν φύσιν ἀφανίσει, ἵνα εἰς ἄλλην τινὰ καινὴν αὐτοὺς ἀνανεώσηται;

Μ. Καὶ μάλα.

Δ. Ἆρά γε φέρει παραμυθίαν τινὰ τὸ τὸν Ἰησοῦν Χριστὸν μέλλειν ἔρχεσθαί ποτε τὸν κόσμον κρινοῦντα;

Μ. Ναί, καὶ οὐκ ἐλαχίστην γε. οἴδαμεν γὰρ σαφῶς ὅτι ἐπὶ τῇ ἡμετέρᾳ σωτηρίᾳ ἐλεύσεται.

Δ. Οὐκοῦν ἡμᾶς χρὴ τὴν ἐσχάτην κρίσιν ὀῤῥωδεῖν.

Μ. Οὐ γάρ. ἐπειδὴ ὁ δικαστὴς ὧν προσελα-
θεῖν ἡμᾶς δικάσει, ἐκεῖνός ἐστιν ὁ συνηγο-
ρῶν ἡμῖν, καὶ ὁ ἡμῖν πανταχοῦ καὶ πάν-
τοτε παρεστήκεσθαι ἐπαγγειλάμενος.

Δ. Ἐπὶ τὸ τρίτον μέρος ἔλθωμεν.

Μ. Ἐστὶ τοῦτο περὶ τῆς εἰς τὸ ἅγιον πνεῦ-
μα πίστεως.

Δ. Πρὸς τί δὲ χρησίμη ἡμῖν αὕτη;

Μ. Ἵνα εἰδῶμεν ὅτι ὃν τρόπον ἡμᾶς ὁ
Θεὸς διὰ Ἰησοῦ Χριστοῦ ἐλυτρώσατο καὶ
ἔσωσεν, οὕτω καὶ τὴν ἀπολύτρωσιν ταύ-
την καὶ τὴν σωτηρίαν διὰ τοῦ ἁγίου πνεύ-
ματος χαρίζεται ἡμῖν.

Δ. Πῶς τοῦτο φής;

Οτι



Μ. Ὅτι τὸ μὲν Ἰησοῦ Χριστοῦ αἷμα λυ-
τρόν ἐστιν ἡμέτερον, ἀλλ᾽ ἀνάγκη τὸ ἅγιον
πνεῦμα τὰς ἡμετέρας συνειδήσεις πε-
ριρραίνειν τούτῳ, εἴγε μέλλουσιν αὐταὶ
ἀπολούεσθαι καὶ ἀποκαθαίρεσθαι.

Δ. Τοῦτο σαφεστέρας ἐξηγήσεως δεῖ-
ται.

Μ. Τοῦτ᾽ ἔστιν ὅτι τὸ ἅγιον πνεῦμα ταῖς
ἡμετέραις καρδίαις ἐνοικοῦν ποιεῖ ἡμᾶς
ἱκανοὺς τῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
δυνάμεως αἰσθάνεσθαι. ἡμᾶς γὰρ φω-
τίζει, ὥστε δύνασθαι τὰ ἐκείνου χαρίσ-
ματα καὶ εὐεργετήματα τῇ διανοίᾳ πε-
ριλαβεῖν, καὶ ταῦτα ἐπισφραγίζεται καὶ

ἐνσημαίνεται ταῖς ἡμετέραις ψυχαῖς· ἀναγεννᾷ τε ἡμᾶς καὶ ἀνανεοῖ οὕτως ὥστε ἀπολαύειν πάντων ἀγαθῶν καὶ δώρων τῶν διὰ Ἰησοῦ Χριστοῦ ἡμῖν προσφερομένων.

Δ. τί λείπεται;

Μ. τὸ τέταρτον μέρος, ἐν ᾧ εἴρηται ὅτι τὴν ἁγίαν ἐκκλησίαν καθολικὴν πιστεύομεν.

Δ. τίς δέ ἐστιν ἡ καθολικὴ ἐκκλησία;

Μ. ὁ τῶν πιστῶν ὅμιλος τῶν ὑπὸ τοῦ θεοῦ προορισθέντων καὶ προδιαταχθέντων εἰς τὴν αἰώνιον ζωήν.

Δ. Ἆρά γε καὶ τοῦτο τὸ μέρος πιστεύειν ἀνάγκη;

Μ. Παντάπασι μὲν οὖν, εἰ μὴ ἄρα



τὸν τοῦ Ἰησοῦ Χριστοῦ θάνατον ἀνόνητον ἡγούμεθα εἶναι, καὶ τὰ λοιπὰ περὶ ὧν εἰρήκαμεν. τείνει γὰρ καὶ ἀναφέρεται πάντα πρὸς τὴν ἐκκλησίαν ταύτην συνίστασθαι.

Δ. Ἔοικας ἄρα λέγειν ὅτι μέχρι μὲν τοῦδε, περὶ τῆς ἀρχικῆς αἰτίας καὶ οἱονεὶ θεμελίου τῆς σωτηρίας ἡμῶν εἴρηται. ἐν οἷς ἐδηλώσατο ὅτι ἡμεῖς τῷ θεῷ διὰ Ἰησοῦ Χριστοῦ κατηλλάγημεν, καὶ ταύτην τὴν εὐεργεσίαν ἡ τοῦ ἁγίου πνεύματος δύναμις ἡμῖν ἐπιστώσατο· νῦν δὲ τὸ τούτων ἀποτέλεσμα δείκνυται, εἰς μείζω βεβαίωσιν τῶν ῥηθέντων.

Μ. Ἔστιν οὕτω.

Δια-

Δ. Διατί δὲ ταύτην τὴν ἐκκλησίαν ἁγίαν ἀποκαλεῖς;

Μ. Ὅτι οὓς ὁ Θεὸς ἐξελέξατο, τούτους δικαιοῖ τε ἀποκαθαίρει εἰς τὸ ὅσιον καὶ καθαρὸν διάγειν βίον, ἵνα ἐν ἐκείνοις ἡ αὐτοῦ δόξα περιλάμπῃ· καὶ οὕτω δὴ ὁ Ἰησοῦς Χριστὸς τὴν αὐτοῦ ἐκκλησίαν ἀπολυτρώσας ἡγίασεν, ἵνα ἔνδοξος ᾖ καὶ ἄσπιλος.

Δ. Τί δὲ βούλεταί σοι τὸ καθολική;

Μ. Σημαίνει δὴ ὅτι ὥσπερ τῶν πιστῶν κεφαλὴ μία μόνον ἐστίν, οὕτω καὶ πάντας εἰς ἓν σῶμα ἑνωθῆναι χρή. ὅθεν συμβαίνει οὐ πολλὰς εἶναι ἐκκλησίας, μίαν δὲ μόνην τὴν δι᾽ ὅλης τῆς οἰκου-

μένης



μένης διεσπαρμένην. Εφεσ. δ.

Δ. Τί δὲ ἑξῆς τὸ περὶ τῆς τῶν ἁγίων κοινωνίας τίνα νοῦν ἔχει;

Μ. Τοῦτο προσετέθη, ἵνα ἡ τῶν τῆς ἐκκλησίας μελῶν ἕνωσις καὶ συνάφεια φανερωτέρα γένηται. ὅθεν τε τοῦτο δῆλον ἡμῖν ἐστιν, ὅτι πάντων ἀγαθῶν ὧν ὁ Θεὸς τῇ ἐκκλησίᾳ χαρίζεται, κοινῇ πάντες συναπολαύουσιν οἱ πιστοί, οἷα δὴ κοινωνίᾳ τινὶ ἀλλήλοις συνημμένοι ὄντες.

Δ. Ἆρα τελεία ἐστὶν ἤδη αὐτὴ ἡ ἁγιότης ἣν τῇ ἐκκλησίᾳ προσάπτεις;

Μ. Οὐ δῆτα· οὐδέ γε ἔσται ἕως ἂν ἐν τῷδε τῷ κόσμῳ πολεμῶσιν· ἀλλ᾽ ἀσθε-

νὴς καὶ ἀτελὴς νῦν πέρ ἐστι, καὶ ἔσται μέχρις οὗ ἂν τῇ αὐτῆς κεφαλῇ παντελῶς ἑνωθῇ. ἤτοι τῷ Ἰησοῦ Χριστῷ, ὑφ' οὗ καὶ ἁγιάζεται.

Δ. Πότερον δὲ οὐκ ἐνδέχεται ταύτην τὴν ἐκκλησίαν ἄλλως ἢ διὰ πίστεως γινώσκειν;

Μ. Ἔστι μέν τις καὶ ὁρατὴ ἐκκλησία τοῦ Θεοῦ καὶ γνωστὴ διὰ ὧν ἔδωκε γνωρισμάτων. ἀλλ' ἐνταῦθα λόγος ἐστὶν ἰδίᾳ περὶ τῆς τῶν ὑπὸ τοῦ Θεοῦ εἰς σωτηρίαν προορισθέντων ἐκκλησίας, ἥτις ἀόρατος ἡμῖν ἐστι.

Δ. Λέγε δὴ τὰ μετὰ ταῦτα.

Μ. Πιστεύω τὴν τῶν ἁμαρτιῶν ἄφεσιν.





Δ. Τί δὲ βούλεταί σοι τὸ τῆς ἀφέσεως ὄνομα;

Μ. Ὅτι ὁ Θεὸς τῇ ἰδίᾳ ἀγαθότητι χρώμενος, τοῖς ἑαυτοῦ πιστοῖς, καίτοι ἀναξίοις οὖσι, τὰ αὐτῶν παραπτώματα χαρίζεται, ὥστε μὴ αὐτοὺς κατακριθέντας ὑπ' αὐτοῦ, ἐκείνων τιμωρίαν ὑπέχειν.

Δ. Ἐκ τούτων ἄρα δῆλον ὅτι οὐ τῆς τῶν ἁμαρτημάτων συγγνώμης τυγχάνομεν, ὡς ὑπὲρ ἐκείνων ἀντιτίσαντες.

Μ. Ἀληθῆ. καὶ γὰρ ὁ κύριος τὸ ἡμῶν χρέος ἀπέδωκεν, ὅτι ἀντὶ ἡμῶν τιμωρίαν ὑπέμεινε. τὸ δὲ καθ' ἡμᾶς, οὐκ ἂν οἷοί τε εἴημεν οὐδ' ὁτιοῦν εἰς ἀπότισιν δοῦναι.

ἀλλὰ δεῖ τῇ τοῦ Θεοῦ ἐλευθεριότητι πλη-
ρῆ χάριν ἔχειν, δι' ἧς μόνης ἐτύχομεν
ταύτης τῆς εὐεργεσίας.

Δ. Διατί δὲ τὴν ἄφεσιν ἁμαρτιῶν τῷ
περὶ ἐκκλησίας λόγῳ ἐπισυνάπτεις;

Μ. Ὅτι οὐδενὶ ἀφίεται τὰ ἁμαρτή-
ματα αὐτοῦ, ἐὰν μὴ πρότερον τῇ τοῦ Θεοῦ
ἐκκλησίᾳ ἐγγραφῇ, καὶ εἰσαεὶ ἑνωθῇ τῷ τοῦ
Χριστοῦ σώματι, ὥστε γίνεσθαι μέλος
τῆς ἐκκλησίας ἀληθινόν.

Δ. Τοιγὰρ οὖν κατὰ τὸν σὸν λόγον, ἔξω
τῆς ἐκκλησίας οὐδὲν πλὴν κατακρίσεώς
τε καὶ θανάτου.

Μ. Οὕτως· ἅπασι γὰρ οἱ τῆς τῶν πιστῶν
κοινωνίας ἀφιστᾶσι, καὶ τὰ αὐτῆς ἐν φρο-



νοῦσιν, οὐδεμία σωτηρίας καταλείπεται
ἐλπὶς, ὅσον γε ἂν χρόνον ταύτης δι-
χασθέντες μείνωσι.

Δ. Τί τούτοις ἐπιφέρεται;

Μ. Ἡ τῆς σαρκὸς ἀνάστασις, καὶ ζωὴ αἰ-
ώνιος.

Δ. Τίνος χάριν τοῦτο προσετέθη;

Μ. Ἵνα γινώσκωμεν ὅτι ἡ εὐδαιμονία
ἡμῶν ἥκιστα ἐν τῇ γῇ κεῖται. ὅπερ καὶ αὐτὸ
δυοῖν ἕνεκα ἡμᾶς εἰδέναι συμφέρει. πρῶ-
τον μὲν, ἵνα μάθωμεν ὅτι χρὴ ἡμᾶς
τοῦτον τὸν κόσμον, καθάπερ ἀλλοδαπήν
τινα χώραν, διοδεύειν, πάντων τῶν ἐν
αὐτῷ ἀμελοῦντας· εἶτα δὲ καὶ ὅπως μὴ

ἀπελπίσωμεν, καί τοι ἀφανοῦς ἔτι ὄντος τοῦ καρποῦ τῆς χάριτος, ἥνπερ ἡμῖν ὁ κύριος ἐν Ἰησοῦ Χριστῷ ἐχαρίσατο. ἀλλὰ προσδοκῶντες διαπλῶμεν μέχρι τοῦ τῆς ἀποκαλύψεως καιροῦ.

Δ. Πῶς δὲ γενήσεται αὕτη ἡ ἀνάστασις;

Μ. Οἱ μὲν ἤδη μεταλλάξαντες τὸν βίον, τὰ ἑαυτῶν ἀναλήψονται σώματα τὰ αὐτὰ μὲν κατὰ τὴν οὐσίαν ὄντα, ἀλλοίωσιν δέ τινα κατὰ τὴν ποιότητα παθόντα· ἐπεὶ οὐκέτι θνητά, οὐδὲ φθαρτὰ ἔσται. τοὺς δὲ περιγενησομένους τότε, θαυμαστῶς πως ὁ Θεὸς ἀναστήσει, παθόντας τὴν μεταβολὴν ἐκείνην περὶ ἧς εἰρήκαμεν.

Ἆρ'



Δ. Ἆρ' οὐχ ἡ ἀνάστασις αὕτη κοινὴ ἔσται τῶν τε ἀγαθῶν καὶ τῶν κακῶν;

Μ. Πάντως μὲν οὖν· ἀλλ' οὐκ ἐπὶ ἴσῃ καὶ ὁμοίᾳ ἑκάτεροι ἀναστήσονται· οἱ μὲν γὰρ εἰς σωτηρίας τε καὶ χαρᾶς ἀπόλαυσιν, οἱ δέ, ἵνα θάνατον κατακριθέντες, ἐσχάταις τιμωρίαις παραδιδῶνται.

Δ. Διατί οὖν περὶ τῆς αἰωνίου ζωῆς μόνον λόγος ἐνταῦθα, οὐχ ὁμοίως δὲ καὶ περὶ τοῦ ᾅδου;

Μ. Ἐπειδὴ ἐν ταύτῃ τῇ ὁμολογίᾳ τῆς πίστεως οὐδὲν ἄλλο ἢ τὰ τοῖς πιστοῖς παρηγορίαν φέροντα πρόκειται διηγήσασθαι, διὰ τοῦτο τὰ ἆθλα μόνον ἅπερ ὁ Θεὸς τοῖς λατρεύουσιν αὐτῷ ἑτοιμάζει, ἐνταῦθα

ἐκτίθεται, καὶ οὐδεὶς περὶ τῆς τῶν ἀδί-
κων τιμωρίας λόγος, ἅτε δὴ τῆς αὐτοῦ
βασιλείας ἐξορισθέντων.

Δ. Εἰδόσι δὲ ἡμῖν ἐπὶ τίνι ἐστήρισται
καὶ βέβηκεν ἡ πίστις, οὐχὶ ῥᾴδιον ἔσται κα-
θορᾶν τίς ἡ ἀληθινὴ πίστις;

Μ. Κομιδῇ. καὶ οὕτω γε τις αὐτὴν ὁρι-
σάμενος, οὐκ ἂν ἁμάρτοι. πίστις, ἐστὶ σα-
φὴς καὶ βέβαιος γνῶσις τῆς τοῦ Θεοῦ πρὸς
ἡμᾶς εὐνοίας, ὥσπερ ἐν τῷ αὐτοῦ εὐαγ-
γελίῳ λέγει ἑαυτὸν πατέρα ἡμῖν καὶ σω-
τῆρα διὰ Χριστοῦ εἶναι.

Δ. Πότερον δὲ ἡμεῖς οἷοί τε ἐσμὲν ἀφ'
ἑαυτῶν, ταύτης τυγχάνειν, ἢ ἄρα Θεός
ἐστιν ὁ ταύτην χαριζόμενος;



Μ. Διδάσκει ἡμᾶς ἡ ἱερὰ γραφὴ ὅτι ἡ
πίστις τῶν ἐξαιρέτων τοῦ ἁγίου πνεύμα-
τος δώρων ἐστίν. ὅπερ καὶ πείρᾳ μανθά-
νομεν.

Δ. Πῶς φῄς;

Μ. Ὁρῶμεν γὰρ τὸν ἡμέτερον νοῦν ἀμα-
θέστερον καὶ παχύτερον ὄντα, ἢ ὥστε τὴν
Θεοῦ σοφίαν τὴν πνευματικὴν οὖσαν περι-
λαβεῖν, ἢ διὰ πίστεως ἡμῖν ἀποκαλύπτεται.
ἔτι δὲ ἡ ψυχὴ ἡμῶν, (ἅτε δὴ πρὸς ἀπι-
στίαν εὐκατάφορος οὖσα, καὶ πρὸς τὸ ἑαυτῇ
ἢ τινι ἄλλῳ τῶν τοῦ Θεοῦ κτισμάτων πε-
ποιθέναι) οὐ δύναται ἀφ' ἑαυτῆς ἐπανα-
παύεσθαι ἐπὶ Θεῷ· ἀλλὰ τὸ ἅγιον πνεῦμα

ἡμᾶς φωτίζει, ἐφ' ᾧ δεκτικοὺς ποιεῖν ἐκείνων, ἅπερ οὐκ ἂν ἄλλως καταληπτὰ ἐγένετο· πρὸς δὲ τούτοις βεβαίαν ἡμῖν πεποίθησιν ἐμποιεῖ, τὰς περὶ τῆς σωτηρίας ὑποσχέσεις ταῖς ἡμετέραις καρδίαις ἐνσημαινομένη.

Δ. Τί δὲ ἡμῖν ὄφελος ἐκ τοῦ πίστιν ἔχειν;

Μ. Αὐτὴ ἡμᾶς δικαιοῖ παρὰ τῷ Θεῷ, καὶ οὕτω τὴν αἰώνιον ζωὴν ἡμῖν περιποιεῖται.

Δ. Τί οὖν; οὐ δικαιοῦται ἄνθρωπος διὰ τῶν ἀγαθῶν ἔργων, ὅταν ὁσίως καὶ κατὰ τὸν τοῦ Θεοῦ νόμον ζῇ.

Μ. Εἰ μὲν δυνατὸν ἦν εὑρεῖν τινα οὕτω τέλειον ὄντα, ὥστε πάντῃ πάντως κατὰ τὸν



τὸν τοῦ Θεοῦ νόμον ζῆν, ἐνδίκως γε οὕτως δίκαιος ὠνομάζετο ἄν· νῦν δὲ ἐπειδὴ οὐδὲν ἄλλο ἢ ἁμαρτωλοί ἐσμεν, ἀλλαχοῦ ἡμᾶς ἀξίωμά τι δεῖ ζητεῖν ἢ παρ' ἑαυτοῖς, ὃ περιθέμενοι, οἰκειωθῆναι τῷ Θεῷ δυναίμεθ' ἄν.

Δ. Πότερον δὲ οὕτως· οὐδενὸς ἄξια ὁ Θεὸς τὰ ἡμέτερα ἔργα λογίζεται, ὥστε μηδὲν αὐτὰ συμβάλλεσθαι πρὸς τὸ ἵλεων καὶ εὐμενῆ αὐτὸν ἡμῖν καταστῆσαι;

Μ. Πρῶτον μὲν ἃ πράττειν πεφύκαμεν ἔργα, κακά ἐστι πάντα, διὸ καὶ οὐκ ἀρέσκειν αὐτῷ δύναται, ἀλλ' ὑπ' αὐτοῦ ἀποδοκιμάζεται.

Δ. Λέγεις οὖν ἡμᾶς, πρὶν τῷ θεῷ διαλλαχθῆναι, οὐδὲν ἄλλο ἢ ἁμαρτάνειν δύνασθαι· ὥσπερ δὴ τὰ σαπρὰ τῶν δένδρων πάντως ἀνάγκη σαπροὺς καρποὺς φύειν.

Μ. Μάλιστα. καὶ γὰρ κἂν τὰ ἡμέτερα ἔργα ἔξωθεν καλὰ φαίνηται, κακά ἐστιν ὅμως· ἀπὸ δὴ τῆς καρδίας ἡμῶν κακῆς οὔσης, ἣν ὁ θεὸς ἐξετάζει.

Δ. Ἐκ τούτου δὴ συνάγεις ὅτι οὐχ οἷόν τε τοῖς ἀνθρώποις διά τινος τῶν ἰδίων ἔργων ἀξίας προσάγεσθαι τὸν θεὸν, ὥστε ἐκεῖνον εὖ ποιεῖν αὐτοῖς· πᾶν δὲ τοὐναντίον ὅτι πᾶσιν οἷς ποιοῦσιν, αὐτὸν παροξύνουσι καὶ ἐξοργίζουσι καθ' ἑαυτῶν.



Μ. Πάνυ μὲν οὖν. Διὸ καὶ λέγω ὅτι ἥκιστα πρὸς τὰ ἡμέτερα ἔργα ἀφορῶν, μόνον δὲ τῷ συγγνώμων φύσει εἶναι καὶ πανάγαθος, ἡμᾶς διὰ τὸν Ἰησοῦν Χριστὸν φιλεῖ, καὶ τὴν αὐτοῦ δικαιοσύνην ἡμῖν ἀνατιθεὶς, τὰ ἡμέτερα ἁμαρτήματα ἡμῖν ἀφίησι.

Δ. Πῶς οὖν τὸν ἄνθρωπον τῇ πίστει δικαιοῦσθαι λέγεις;

Μ. Ὅτι διὰ τοῦ πεποιθέναι καὶ ἐλπίδας ἔχειν ἐπὶ ταῖς ἐν τῷ εὐαγγελίῳ ἐπαγγελίαις, ταύτης τῆς δικαιοσύνης τυγχάνει πως.

Δ. Νομίζεις οὖν ὅτι ὥσπερ ὁ θεὸς ἡμῖν

διὰ τοῦ εὐαγγελίου ταύτην προσφέρει, οὕτω καὶ προσενεχθεῖσαν, διὰ τῆς πίστεως ἡμᾶς ἀποδέχεσθαι προσήκει.

M. Ναί.

Δ. Ἐπειδὴ γὰρ ἅπαξ ὁ Θεὸς ἡμᾶς φιλικῶς κατεδέξατο, τὰ ὑφ' ἡμῶν διὰ τῆς ἐκείνου χάριτος πραττόμενα ἆρ' οὐκ ἐκείνῳ ἀρέσκει.

M. Πάνυ μὲν οὖν, καθ' ὅσον γε ἀποδοχῆς ὑπ' αὐτοῦ ἀξιοῦται, καίτοι γε οὐκ ἄξια ταύτης ὑπάρχοντα.

Δ. Πῶς τοῦτο φῄς; οὐκ ἀποδοχῆς ἄξια δι' ἑαυτῶν ἐστιν, ἅτε δὴ ἐκ τοῦ ἁγίου πνεύματος ἀπορρέοντα;

Οὐδα-



Δ. Οὐδαμῶς. ἀεὶ γάρ τινα ἐκ τῆς ἀκαθαρσίας τῆς ἡμετέρας σαρκὸς μολυσμὸν ἕλκει.

Δ. Τίς οὖν μηχανὴ τὰ κεχαρισμένα τῷ Θεῷ πράττειν;

M. Ἐὰν μετὰ πίστεως τὰ ἡμῶν ἔργα πράττηται, τοῦτ' ἔστιν, ἐὰν ὁ ἐκεῖνα ποιῶν πεπεισμένος ᾖ ὅτι ὁ Θεὸς οὐκ ἀκριβοδίκαιος οὐδὲ ἀπότομος ἐν τῇ ἐκείνων ἐξετάσει ἔσται, ἀλλὰ τὸ ἐνδεὲς καὶ ἀτελὲς τῶν ἡμετέρων ἔργων τῇ τοῦ Χριστοῦ τελειότητι ἀποπληρῶν, καὶ πᾶν ὅσον ἐν ἐκείνοις ἀκάθαρτον τῇ ἐκείνου καθαρότητι προκαλύπτων, ἐν τάξει τελείων αὐτὰ ποιήσεται.

Ἄρα

Δ. Ἆρα οὖν ἐκ τῶν εἰρημένων συλλογίσασθαί ἐστιν ὅτι οἱ χριστιανοὶ τοῖς ἑαυτῶν ἔργοις δικαιοῦνται μετὰ τὸ ὑπὸ τοῦ Θεοῦ κληθῆναι, ἢ ὅτι ἡ ἐκείνων ἀξία τὴν τοῦ Θεοῦ ἀγάπην περιποιεῖται αὐτοῖς, ἧς παρακολούθημα τὸ σωτηρίας τυγχάνειν;

Μ. Οὐδ' οὕτω. τοὐναντίον γὰρ γέγραπται ὅτι οὐδεὶς τῶν ἀνθρώπων ἐναντίον αὐτοῦ δικαιωθήσεται. Διὸ καὶ ἡμᾶς ἐκεῖνον παρακαλεῖν προσήκει, ἵνα μὴ τῶν βεβιωμένων τὰς εὐθύνας εἰσπράττηται ἡμᾶς.

Δ. Ἆρα οὖν νομίζεις τὰ ἀγαθὰ τῶν πιστῶν ἔργα ἀνωφελῆ αὐτοῖς εἶναι;

Μ. Οὐ γάρ· εἴγε ὁ Θεὸς καλλίστας ἀμοιβὰς



τοῖς ταῦτα ποιοῦσιν, οὐ μόνον ἐν τῷ παρόντι, ἀλλὰ καὶ ἐν τῷ μετὰ τοῦτον βίῳ ἀποδώσειν ὑπέσχετο. οὕτω δὲ ἀμείβεται ἡμᾶς, ὅτι τῆς αὐτοῦ ἀγάπης ἀξιοῖ, δι' ἣν τὰ ἡμέτερα πλημμελήματα ἐξαλείφει, ὥσπερεὶ λήθῃ παραδοῦναι αὐτὰ βουλόμενος.

Δ. Τί δὲ, ἡ δικαιοσύνη αὕτη περὶ ἧς ὁ λόγος, μῶν ἀπὸ τῶν ἀγαθῶν ἔργων χωρίζεσθαι δύναται;

Μ. Ἥκιστά γε. τὸ γὰρ Ἰησοῦ Χριστῷ πιστεύειν, ἐκεῖνό ἐστιν ἀποδέχεσθαι τοιοῦτον οἷον δὴ ἡμῖν ἑαυτὸν προσφέρει. αὐτὸς δὲ ὑπισχνεῖται οὐ μόνον τοῦ θανάτου ἀπαλ-

L

λάξειν ἡμᾶς καὶ τῷ Θεῷ πατρὶ καταλ-
λάξειν, διὰ τοῦ ἀξιώματος τῆς ὁσιότητος
αὐτοῦ, ἀλλὰ καὶ ἡμᾶς ἀναγεννήσειν διὰ τοῦ
πνεύματος αὐτοῦ, καὶ εἰς ἵνα ἅγιον ἀ-
ναιεώσεσθαι βίον.

Δ. Ἐκ τούτων δῆ καταμαθεῖν ἔστιν ὅτι
ἡ πίστις ῥίζα τῶν καλῶν ἔργων ἐστὶν, οὐχὶ
δὲ αὐτὴ ἀμέλειαν ἐκείνων ἡμῖν ἐμποιεῖ,
οὐδὲ πολλοῦ δεῖ.

Μ. Καλῶς γε εἴρηκας. Διὸ καὶ πᾶσα ἡ
τοῦ εὐαγγελίου διδαχὴ δυσὶ τούτοις
περιέχεται, πίστει καὶ μετανοίᾳ.

Δ. Τί ἐστι μετανοία;

Μ. Τὸ μισεῖν τὸ κακὸν, ποθεῖν δὲ τὸ ἀγα-
θὸν, καὶ ταῦτα διὰ τὸ φοβεῖσθαι τὸν Θεόν. ἃ



δύο ἡμᾶς ἀναπείθει τὴν ἡμετέραν σάρ-
κα νεκρῶσαι, καὶ τῷ ἁγίῳ πνεύματι ἕ-
πεσθαι, ἄγοντι ἡμᾶς πρὸς τὸ σέβας καὶ
τὴν θεραπείαν τοῦ Θεοῦ.

Δ. Τοῦτο ἦν ἄρα τὸ δεύτερον τῶν κεφα-
λαίων, εἰς ἃ τὴν τῶν χριστιανῶν εὐσέ-
βειαν διείλομεν ἀρχόμενοι.

Μ. Ναὶ γάρ. εἴπομεν δὲ τότε ὅτι τὸν Θεὸν
πρεπόντως σέβειν, ἐστὶ τὸ τὰ ὑπ' αὐτοῦ
κελευόμενα ποιεῖν.

Δ. Διατί;

Μ. Ὅτι οὐ βούλεται θεραπεύεσθαι ὑφ' ἡ-
μῶν ὅπως ἂν ἡμῖν δοκῇ, ἀλλ' ὅπη αὐ-
τῷ φίλον.

τῶν δέκα ἐντολῶν τοῦ Θεοῦ.

Τίνα τοίνυν ἡμῖν ἔδωκε κανόνα, πρὸς ὃν τὸν ἡμέτερον βίον κατευθύνειν προσήκει;

Μ. Τὸν αὐτοῦ νόμον.

Δ. Τί δ' οὗτος περιέχει;

Μ. Εἰς δύο μέρη διῃρημένος ὤν, τῷ μὲν προτέρῳ τέτταρα παραγγέλματα περιείληφε, τῷ δὲ ἑτέρῳ ἕξ. καὶ οὕτω δέκα ὅλον ἅπαντα τὰ ἐντάλματα.

Δ. Τίς οὕτω διεῖλεν;

Μ. Αὐτὸς ὁ Θεός. ὃς δυσὶ πλαξὶν ἐγκεχαραγμένον αὐτὸν ἔδωκε τῷ Μωϋσῇ, καὶ πολλάκις ἔλεξεν ὅτι δέκα ῥήμασι περιέχεται.



Δ. Περὶ τίνος δὴ ἡ προτέρα πλὰξ προστάγματα ἔχει;

Μ. Περὶ τοῦ τὸν Θεὸν σεβάσασθαι ὡς χρή.

Δ. Περὶ τίνος δὴ ἡ δευτέρα;

Μ. Περὶ τοῦ πῶς ἡμᾶς ἀλλήλοις προσφέρεσθαι δεῖ.

Δ. Λέγε τὴν πρώτην ἐντολήν.

Μ. Ἄκουε Ἰσραήλ. ΕΓΩ εἰμι Κύριος ὁ Θεός σου, ὅστις σε ἐξήγαγεν ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας. οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι ἐνώπιόν μου.

Δ. Τοῦτο ἐξήγησαι.

Μ. Πρῶτον ὀλίγα τινὰ οἱονεὶ προοιμιάζει τοῖς ἐν τῷ νόμῳ γεγραμμένοις. ὅταν

γὰρ κύριον ἑαυτὸν ὀνομάζῃ, φανερὸν ἡμῖν ποιεῖται ὅτι ἐξουσίαν ἔχει τοῦ προστάττειν· τὸν δὲ Θεὸν ἡμῶν καλῶν ἑαυτὸν, ἔρωτα ἡμῖν τοῦ ἰδίου νόμου ἐμποιεῖ. ὅμοιον γὰρ ὡς εἰ σωτῆρα ἡμῶν ὀνομάζοι ἑαυτόν. εἰ δὲ ἡμέτερος σωτὴρ τυγχάνει ὤν, πῶς οὐ δίκαιον ἡμᾶς εὐπειθῆ λαὸν αὐτῷ εἶναι.

Δ. Ὃ δὲ τούτοις ἐπισυνάπτει περὶ τῆς ἐξελευθερώσεως τῆς ἐν Αἰγύπτῳ δουλείαν ὑπομείναντος λαοῦ, μῶν ἰδίως περὶ τοῦ ἰσραηλιτικοῦ εἴρηται λαοῦ;

Μ. Πάνυ μὲν οὖν, ὅσα γε κατὰ τὸ σῶμα. ἀλλ᾽ ἔστι τι καὶ ἄλλο ἐξελευθερώσεως εἶδος



εἶδος τὸ πᾶσιν ἀνθρώποις κοινόν· ἡμᾶς μὲν γὰρ ἅμα πάντας τῆς πνευματικῆς δουλείας, (δι᾽ ἧς τῇ ἁμαρτίᾳ ἐδουλεύομεν) καὶ τῆς τοῦ διαβόλου τυραννίδος ἀπήλλαξεν.

Δ. Διατί δὲ ἐν τῇ τοῦ νόμου ἀρχῇ μνείαν τούτων ποιεῖται;

Μ. Ἵνα προδιδάσκῃ ἡμᾶς ὅτι εἰκότως πολλὴν ἀχαριστίαν ἡμῖν ἐγκαλέσει, ἐὰν μὴ αὐτῷ ἐν πᾶσιν εὐπειθεῖς καὶ κατήκοοι γινώμεθα.

Δ. Τί δὲ ἐν τῷ δὲ τῷ πρώτῳ παραγγέλματι ἀπαιτεῖ παρ᾽ ἡμῶν;

Μ. Ἵνα ὁλόκληρον τὴν προσήκουσαν αὐτῷ τιμὴν προσάπτωμεν, εἰς ἄλλον μη-

δένα ταύτης μηδ' ἔτι οὖν μεταφέροντες.

Δ. Ποία δὲ τις ἐστὶν ἡ τιμὴ ἣν ἀπονέμειν αὐτῷ μόνῳ ἡμᾶς κελεύει;

Μ. Τὸ σέβεσθαι αὐτὸν, ἐπικαλεῖσθαί τε καὶ αὐτῷ μόνῳ πεποιθέναι· ἑνί τε λόγῳ, πάντα τὰ τῇ αὐτοῦ μεγαλειότητι πρέποντα ἀπονέμειν.

Δ. Τί δὲ βουλόμενος προστίθησιν, ἐνώπιόν μου.

Μ. Ἐπειδὴ τὰ κεκρυμμένα τῆς διανοίας ἡμῶν βουλεύματα ὁρᾷ καὶ γινώσκει, ἔτι δὲ καὶ κριτὴς τούτων ἐστὶν, οὐκ ἀρκεῖται τῇ διὰ γλώσσης αὐτῷ προσαπτομένῃ ὑφ' ἡμῶν τιμῇ, ἀλλὰ καὶ ἐν τῇ ψυχῇ ἀπορρήτως



τως ὑφ' ἡμῶν τιμᾶσθαι καὶ θεραπεύεσθαι βούλεται.

Δ. Λέγε τὸ δεύτερον παράγγελμα.

Μ. Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα ὅσα ἐν τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς· οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς.

Δ. Μῶν μὴ πᾶν εἶδος εἰκόνος ποιεῖν ἀπαγορεύει;

Μ. Οὔκ· ἀλλὰ μόνον Θεοῦ τύπον ἀπεικονίζειν κωλύει, ἢ ὁποιασδηποτοῦν εἰκόνι προσκυνεῖν.

Δ. Διατί τοῦ Θεοῦ ὁρατὴν τινα μορφὴν

περιάπτειν οὐ θέμις.

Μ. Ὅτι αὐτὸς πνεῦμα ὤν, ἀΐδιός τε καὶ ἀκατάληπτος ὑπάρχων, ὕλῃ ἁπτῇ οὔσῃ, ἀναισθήτῳ, φθαρτῇ τε καὶ ὁρατῇ ἀνόμοιός ἐστι παντελῶς.

Δ. Νομίζεις οὖν ἀτιμίαν τῇ ἐκείνου μεγαλειότητι περιτιθέναι τὸν σωματοειδῶς αὐτὸν ἀπεικάζειν βουλόμενον.

Μ. Ἔγωγε.

Δ. Τίνα δὲ τρόπον προσκυνήσεως οὐκ ἀποδέχεται;

Μ. Τὸ εἰκόνι τινὶ γονυπετήσαντας προσεύχεσθαι, ἢ τινος ἄλλης τιμῆς αὐτὴν ἀξιοῦν, ὡς δι' ἐκείνης ἡμῖν ἐμφαίνοντος ἑαυτὸν τοῦ Θεοῦ.



Δ. Οὐκοῦν νομίζειν χρὴ πᾶν τὸ γεγραφημένον ἢ γεγλυμμένον ἀποδοκιμάζεσθαι ἐνταῦθα, ἀλλὰ μόνον ἀπαγορεύεσθαι, μηδεμίαν εἰκόνα ποιῆσαι, ἕνεκα τοῦ δι' αὐτῆς τῷ Θεῷ λατρεύειν, ἢ ἄλλως πως αὐτῇ καταχρῆσθαι εἰς εἰδωλολατρείαν.

Μ. Οὕτως.

Δ. Τί δὲ ἡμᾶς ἐν κεφαλαίῳ διδάσκειν βούλεται διὰ τούτου τοῦ προστάγματος;

Μ. Ὥσπερ ἐν τοῖς πρὸ τοῦδε ὁ Θεὸς ἐδήλωσεν, οὐδένα πλὴν αὐτοῦ τιμῆς καὶ σεβασμοῦ ὑφ' ἡμῶν ἀξιωθῆναι δεῖν· οὕτως ἐνταῦθα τὸν ὀρθὸν καὶ ἀληθῆ προσκυνήσεως τρόπον ἐπιδεικνύει, ἵνα πάσης δει-

σιδαιμονίας καὶ πάσης τῆς κατὰ τὴν ἀν-
θρωπίνην ἐπίνοιαν ἐθελοθρησκείας ἡ-
μᾶς ἀποτρέπει.

Δ. Προΐωμεν.

Μ. Ἀπειλὴν προστίθησι, λέγων, Ἐγὼ γὰρ
εἰμι κύριος ὁ Θεός σου, Θεὸς ἰσχυρός,
ζηλωτὴς, ἀποδιδοὺς ἁμαρτίας πατέ-
ρων ἐπὶ τέκνα, ἐπὶ τρίτην καὶ τετάρτην
γενεὰν τοῖς μισοῦσί με.

Δ. Τίνος χάριν ἐμνήσθη τῆς αὐτοῦ δυ-
νάμεως;

Μ. Ἵνα ἐντεῦθεν καταμάθωμεν ὅτι
ἱκανός ἐστι τῆς αὐτοῦ δόξης καὶ τιμῆς ὑπερ-
ασπίζειν.

Δ. Διατί ἑαυτὸν καλεῖ ζηλωτήν;



Μ. Ὅτι οὐ φέρει τινὰ τῆς ἰδίας δόξης
κοινωνὸν ὄντα· ὥσπερ γὰρ αὐτὸν διὰ τὴν
ἑαυτοῦ ἄπειρον ἀγαθότητα δέδωκεν ἡ-
μῖν, οὕτω καὶ ἡμᾶς ἰδιοποιεῖται. καὶ αὕτη
ἐστὶν ἡ τῶν ἡμετέρων ψυχῶν ἁγνεία, τὸ αὐ-
τὰς ἐκείνῳ καθιερῶσθαι· ὡς πάλιν μοι-
χείαν ἐγκαλοῦνται ὅσοι τοῦτον χαίρειν
ἐάσαντες, πρὸς δεισιδαιμονίαν καὶ ψευ-
δοδιδασκαλίαν τρέπονται.

Δ. Τίς ἡ τούτου τοῦ λόγου ἔννοια, δι' οὗ
λέγει ὅτι ἀποδίδωσιν ἁμαρτίας πα-
τέρων ἐπὶ τέκνα;

Μ. Ὅπως ἡμῖν μείζονα φόβον ἐμποιῇ,
οὐ μόνον τοὺς ἐξαμαρτόντας τιμωρεῖ-

σεσθαι ἀπειλεῖ, ἀλλὰ καὶ τὴν αὐτῶν γενεὰν ἐπάγειν καὶ ἀρᾶς ἔνοχον γενήσεσθαι λέγει.

Δ. Ἆρα οὐκ ἀπεοικὸς καὶ πάντως ἀλλότριον τῆς τοῦ θεοῦ δικαιοσύνης ἐστὶ τὸ ἕτερον ἀνθ' ἑτέρου δίκην εἰσπράξασθαι;

Μ. Εἰ μέν τις τὰ ἀνθρώπινα ἐνθυμηθείη οἷά ἐστι, παύσεται ταύτην τὴν ἀπορίαν προβαλλόμενος. φύσει μὲν γὰρ πάντες ὁμοίως ἀρᾶς ἔνοχοί ἐσμεν, καὶ ἐὰν ταύτῃ ἡμᾶς ὁ θεὸς ἐμμένειν ἐάσῃ, οὐκ ἂν αὐτῷ καταμέμφεσθαι ἔχοιμεν. καθάπερ γὰρ τὴν ἰδίαν ἐνδείκνυται εὔνοιαν πρὸς τοὺς εὐσεβεῖς, ὅταν καὶ τοῖς αὐτῶν ἀπογόνοις εὐλογίας μεταδιδῷ· οὕτω

φανε-



φανερὸν σημεῖον τῆς κατὰ τῶν ἀσεβῶν τιμωρίας δίδωσιν, ὅταν καὶ τοὺς ἀπ' αὐτῶν ἐπιγενομένους καταράτους ὄντας περιορᾷ.

Δ. Ἐπὶ τὰ ἑξῆς ἐρχώμεθα.

Μ. Ἵνα ἡμᾶς καὶ διὰ τῆς ἰδίας χρηστότητος ἐπάγηται, ἐπαγγέλλεται ποιήσειν ἔλεον εἰς χιλιάδας τοῖς ἀγαπῶσιν αὐτὸν, καὶ τοῖς φυλάσσουσι τὰ προστάγματα αὐτοῦ.

Δ. Πῶς τοῦτό φησιν; ἆρα λέγει ὅτι πάντες εὐσεβοῦς ἀνδρὸς ἔγγονοι, κἂν ἀσεβεῖς ὦσι, διὰ τὴν ἐκείνου εὐσέβειαν τεύξονται σωτηρίας παρ' αὐτοῦ;

Μ. Οὐδαμῶς· ἀλλὰ τοιοῦτόν ἐστιν ὅ φησιν, ὅτι δηλαδὴ οὕτως εὐμενῆ ἑαυτὸν

παρέξει τοῖς πιστοῖς, ὥστε αὐτῶν ἕνεκα τοῖς ἐκείνων ἀπογόνοις ἑαυτὸν φανεροῦν καὶ οὐ μόνον διδόναι αὐτοῖς τὸ εὐημερεῖν ἐν τῷ παρόντι βίῳ, ἀλλὰ καὶ ἁγιάζειν διὰ τοῦ πνεύματος αὐτοὺς, ἵνα ἑαυτῷ εὐπειθεῖς ἀπεργάσηται.

Δ. Ἀλλὰ μὴν οὐκ ἐπὶ πάντων τοῦτο συμβαίνει.

Μ. Οὐ πάνυ. ὥσπερ γὰρ ἔξεστιν αὐτῷ, εἰ ἂν δοκῇ, τοῖς τῶν ἀσεβῶν ἐκγόνοις συγγνώμονα παρέχειν ἑαυτόν. ὡσαύτως καὶ ἐκ τῆς τῶν εὐσεβῶν γενεᾶς ὅσους ἂν βούληται, ἀποδοκιμάζειν δύναται. οὕτω μέντοι ταῦτα διέπειν εἴωθεν, ὥστε ἕκαστον

ἡμῶν



ἡμῶν ὁρᾶν κενὴν οὐκ οὖσαν ταύτην τὴν ὑπόσχεσιν.

Δ. Διατί ἐνταῦθα χιλίας γενεὰς λαμβάνει, τὸν χρόνον τῆς τῶν ἀσεβῶν τιμωρίας τρισὶν ἢ τέτταρσι μόνον γενεαῖς περιγράψας;

Μ. Ἵνα μάθωμεν ὅτι χαίρει μᾶλλον τῇ πραότητι, ἢ τῇ ἀποτομίᾳ χρῆσθαι· ὥσπερ καὶ αὐτὸς μαρτυρεῖ ὅτι συγγνωμονικός ἐστιν, ἀλλ᾽ οὐκ ἔνθυμος καὶ τιμωρητικός.

Δ. Λέγε τὴν τρίτην ἐντολήν.

Μ. Οὐ λήψῃ τὸ ὄνομα κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ.

Δ. Τόδε μοι διασάφησον.

M. Τῷ τοῦ Θεοῦ ὀνόματι καταχρῆσθαι ἀπαγορεύει, οὐ μόνον ἐν τῷ ἐπιορκεῖν, ἀλλὰ καὶ ἐν τῷ ὅρκους ἀνονήτους ὀμόσαι.

Δ. Οὐκοῦν Θεὸν ἐνίοτε θέμις ὀμόσαι;

M. Ἔγωγέ φημι, ὅταν ἀνάγκη κατεπείγῃ· λέγω δέ, ὁσάκις ἂν περὶ πράγματος μέγα φέροντος ἀλήθειαν πιστώσασθαι προσήκῃ, ἵνα μὴ ἡ ἐν ἀλλήλοις φιλία καὶ ὁμόνοιά τινων λυθῇ.

Δ. Ἄρα γε μόνον ἀπέχεσθαι κελεύει ὅρκων, οἷς τὸ Θεοῦ ὄνομα βεβηλοῦται καὶ ἀτιμάζεται;

M. Ἑνὸς εἴδους μνησθείς, ἡμᾶς διδάσκει, καθόλου μὴ δεῖν τὸ Θεοῦ ὄνομα

ἄλλως



ἄλλως ἐξαγορεύειν, ἢ μετά τινος αἰδοῦς καὶ ἐντροπῆς, καὶ οὕτως ὥστε αὐτοῦ δοξασθῆναι. Ἐπειδὴ μὲν γὰρ ἱερόν ἐστιν, ἡμᾶς εὐλαβεῖσθαι χρὴ μή πως αὐτὸ ἀτιμάσωμεν, ἢ τοῦ ἀτιμάζειν τοῖς ἄλλοις ἀφορμὴν δῶμεν.

Δ. Πῶς δὲ τοῦτον τὸν νόμον φυλάξομεν;

M. Περὶ Θεοῦ καὶ τῶν ἔργων αὐτοῦ μηδὲν ἄλλο λέγοντες ἢ διανοούμενοι, ἢ ὅ,τι ἂν πρὸς τὴν αὐτοῦ τιμὴν καὶ δόξαν τείνῃ.

Δ. Τί τὸ μετὰ ταῦτα;

M. Ἀπειλεῖ, λέγων ὅτι οὐ καθαριεῖ τὸν λαβόντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ

τοῦτ' ἔστιν, ὅτι οὐκ ἐν τοῖς ἀθώοις καταλογίσεται τὸν ἐπὶ τινὶ φαύλῳ τὸ ὄνομα αὐτοῦ ὀμνύοντα.

Δ. Ἐπειδὴ ἀλλαχοῦ λέγει ἅπαξ ὅτι τιμωρήσεται τὸν παραβάντα ἥντιναοῦν τῶν ἐντολῶν, διατί ῥητῶς ἐνταῦθα τῷ παρακούσαντι τούτου τοῦ προστάγματος τὰ αὐτὰ πάλιν ἀπειλεῖ;

Μ. Ἵνα μάθωμεν ἐντεῦθεν ὅσην σπουδὴν ἐπὶ τῇ ἰδίᾳ δόξῃ ποιεῖται· μαθόντες δὲ τοῦτο, ἐπιμελέστερον σπουδάζωμεν περὶ αὐτῆς καὶ ἡμεῖς, ἄλλως τε καὶ ἐπεὶ ἀκούομεν αὐτοῦ τὴν κατὰ τῶν ὀλιγωρησάντων ταύτης ἀπειλήν.

πρὸς



Δ. Πρὸς τὴν τετάρτην ἐντολὴν ἐρχώμεθα.

Μ. Μνήσθητι τὴν ἡμέραν τῶν σαββάτων, ἁγιάζειν αὐτήν. ἓξ ἡμέρας ἐργάσῃ, καὶ ποιήσεις πάντα τὰ ἔργα σου. τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα κυρίῳ τῷ Θεῷ σου. οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον σύ, ἢ ὁ υἱός σου, ἢ ἡ θυγάτηρ σου, ὁ παῖς σου, καὶ ἡ παιδίσκη σου, ὁ βοῦς καὶ τὸ ὑποζύγιόν σου, καὶ πᾶν κτῆνός σου, καὶ ὁ προσήλυτος ὁ παροικῶν ἐν σοί. ἐν γὰρ ἓξ ἡμέραις ἐποίησε κύριος τόν τε οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς· καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ

ἑβδόμῃ. Διὰ τοῦτο εὐλόγησε κύριος τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν.

Δ. Ἆρα ἓξ ἡμέρας συνεχῶς πονεῖν κελεύει ἵνα τῇ ἑβδόμῃ ἀναπαυώμεθα;

Μ. Οὐχ ἁπλῶς τοῦτο, ἀλλὰ ἓξ ἡμέρας πονεῖν συγχωρήσας, τὴν ἑβδόμην κελεύει καταπαύσιμον τῶν ἔργων εἶναι.

Δ. Οὐκοῦν ἀπὸ οὑτινοσοῦν ἔργου σχολάζειν ἡμᾶς παραγγέλλει;

Μ. Τοῦτο τὸ πρόσταγμα ἰδίαν τινὰ θεωρίαν ἔχει. καὶ γὰρ ἡ τήρησις τοῦ περὶ τῆς καταπαύσεως παραγγέλματος, τῶν παλαιῶν τελετῶν ἐστι, διὸ καὶ ἐλθόντος τοῦ Χριστοῦ ἀνῃρέθη.

Πῶς



Δ. Πῶς λέγεις ἰδίως προσήκειν τοῖς Ἰουδαίοις ταύτην τὴν ἐντολήν, καὶ ὅτι οὐδὲν πρὸς ἡμᾶς αὐτή;

Μ. Λέγω γάρ, ἐφόσονγε περὶ τὴν τελετὴν ἀναφέρεται.

Δ. Τί δ᾽, ἔχει οὖν τὸ πρόσταγμα πλέον τι ταύτης τῆς τελετῆς;

Μ. Τρία ἐστὶ δι᾽ ἃ τοῦτο ἐδόθη.

Δ. Τὰ ποῖα;

Μ. Ὅπως τῆς πνευματικῆς ἀναπαύσεως τύπος γένηται, ἢ τὰ τῆς ἐκκλησίας καλὴν καὶ εὔκοσμον διάταξιν ἔχῃ· ἔτι δὲ καὶ ἕνεκα τοῦ τοῖς ὑπηρέταις ἀνακουφισμόν τινα δοῦναι τῶν πόνων.

Τίνα

Δ. τίνα μοι πνευματικὴν ἀνάπαυσιν λέγεις;

Μ. ὅταν ἡμεῖς μὲν ἀπὸ τῶν ἰδίων ἔργων ἡσυχίαν ἄγωμεν, τὸ δὲ ἅγιον πνεῦμα ἐν ἡμῖν ἐνεργῇ.

Δ. πότερον δὲ ἀπόχρη δὶ ἑβδόμης ἡμέρας τοῦτο πράττειν;

Μ. οὔκ, ἀλλὰ συνεχῶς ποιητέον. ἐξ ὅτου γὰρ ἂν ἅπαξ ἀρξώμεθα, οὐδέποτε παύσασθαι δεῖ.

Δ. πῶς δὲ τοῦτο ποιήσομεν;

Μ. ἐὰν τὴν ἡμετέραν σάρκα σταυρώσωμεν, τουτέστιν ἐὰν τῇ ἰδίᾳ ἡμῶν φύσει ἀποτάξωμεθα, ἵνα ὑπὸ τοῦ θεοῦ πνεύματι κυβερνώμεθα.



Δ. Τίνος οὖν ἕνεκα ἡμέρα τις ῥητὴ τούτῳ τῷ ἔργῳ προστέτακται;

Μ. οὐδεμία ἀνάγκη τὸν τύπον τῇ ἀληθείᾳ αὐτοῦ παντελῶς ὅμοιον εἶναι. ἱκανὸν δὲ εἰ κατά τι ἔοικεν αὐτῷ.

Μ. Διατί δὲ τὴν ἑβδόμην ἡμέραν τῶν ἄλλων προυτίμησεν;

Μ. Ὁ ἑπτὰ ἀριθμὸς ἐν τῇ ἱερᾷ γραφῇ αἰνίττεται πληρότητα, διὸ καὶ πρὸς τὸ ἀϊδιότητα σημαίνειν ἐπιτήδειός ἐστιν. ἅμα δὲ καὶ δηλοῖ ὅτι αὕτη ἡ πνευματικὴ ἀνάπαυσις ἀπὸ μὲν τῆς νῦν ζωῆς ἀρχὴν λαμβάνει, οὐ τελειωθήσεται δὲ πρὶν ἡμᾶς τὸν παρόντα μεταλλάξαι βίον.

Δ. Πῶς δὲ κελεύει ἡμᾶς σχολὴν ἄγειν, τῷ ὑποδείγματι αὐτοῦ ἑπομένους;

Μ. Ὅλον τὸν κόσμον ἐξ ἡμέραις κατασκευάσας, τὴν ἑβδόμην τῇ τῶν ἰδίων ἔργων θεωρίᾳ προσέταξε καὶ ἀνέθηκεν· ὅπως ἵνα καὶ ἡμεῖς προθυμότερον ποιῶμεν. τοῦτο τὸ παράδειγμα προτίθησιν, ὅπερ ἡμῖν παρέσχηκεν. οὐδὲν γὰρ ποθεινότερον ἢ τὸ μιμητὰς αὐτοῦ ὑπάρχειν.

Δ. Ἆρά γε ἡμᾶς ἀδιαλείπτως τὰ τοῦ Θεοῦ ἔργα σκεπτομένους καὶ μελετῶντας διατελεῖν προσήκει, ἢ δὶ ἑβδόμης ἡμέρας τοῦτο ποιεῖν ἀπόχρη;

Μ. Καθ' ἑκάστην δῆλον ὅτι τοῦτο ἡμῖν ποιητέον. ἀλλὰ διὰ τὴν ἡμετέραν ἀσθένειαν, ἰδίαν τινὰ καὶ τακτὴν ἔχομεν ἡμέραν πρὸς τοῦτο καὶ αὕτη ἐστὶν ἡ καλὴ διάταξις ἣν εἴπομεν.



Δ. Τί οὖν πρακτέον τοῖς ἐκ τῆς ἐκκλησίας ἐκείνῃ τῇ ἡμέρᾳ;

Μ. Συνελθεῖν δεῖ τὸν ὅμιλον αὐτῶν τὰ τοῦ Θεοῦ μαθησομένων λόγια, τάς τε εὐχὰς ὁμοῦ καὶ τῆς πίστεως ἐξαγόρευσιν ποιησομένων.

Δ. Πῶς δὲ φὴς ταύτην τὴν ἐντολὴν καὶ πρὸς τὴν τῶν ὑπηρετικῶν πόνων ἀνάπαυλαν τείνειν;

Μ. Ὅπως οἱ τοῖς ἄλλοις ὑποτεταγμένοι ὄντες, ἀπὸ τῶν καμάτων ἀναπαύεσθαι δύ-

ἐκλυθῶσιν. ἔστι δὲ καὶ πρὸς ὀρθὴν κατάστασιν τῆς πολιτείας χρήσιμον τόδε. ὅταν δὲ ἡμέρα τις τῇ αὐτῶν ἀναπαύσει δοθῇ, τὸν λοιπὸν τοῦ χρόνου πρὸς τὰ ἔργα προθυμοτέρως ἔχουσιν.

Δ. Ὥρα, νῦν ἰδεῖν πῶς τοῦτο τὸ πρόσταγμα ἡμῖν προσήκει.

Μ. Τὸ μὲν κατὰ τὴν τελετὴν, ἠκυρώθη, ἀπὸ δὴ τῆς αὐτοῦ ἀληθείας ἐν Χριστῷ ὑπαρξάσης. Κολ. β.

Δ. Πῶς;

Μ. Ἐπειδὴ ὁ παλαιὸς ἡμῶν ἄνθρωπος ἐσταυρώθη τῇ δυνάμει τοῦ θανάτου αὐτοῦ, καὶ τῇ αὐτοῦ ἀναστάσει εἰς καινόν τινα βίον συνανιστάμεθα.



Δ. Ἀκυρωθείσης οὖν τῆς τελετῆς, τί ἐκ τούτου τοῦ προστάγματος λείπεται ἡμῖν;

Μ. Τὸ τὰ διατεταγμένα πρὸς εὐταξίαν τῆς ἐκκλησίας φυλάσσειν. μάλιστα δὲ τὸ ἕνεκα τοῦ τὴν θεοπαράδοτον διδαχὴν ἀκούειν καὶ μανθάνειν, συνέρχεσθαι, καὶ χάριν τοῦ τάς τε εὐχὰς ἅμα ποιεῖσθαι, καὶ τὰ τῶν Χριστιανῶν μυστήρια τελεῖν.

Δ. Τί δὲ, τὸν τῆς παλαιᾶς τελετῆς τύπον εἰς οὐδὲν συμβάλλεσθαι ἡμῖν νομιστέον;

Μ. Οὐδαμῶς. δεῖ γὰρ τοῦτον τὸν τύπον πρὸς τὴν αὐτοῦ ἀλήθειαν ἀνάγειν, τουτέστι πρὸς ἐκεῖνο ὃ προετύπου, ἵνα δηλαδὴ τοῦ Χριστοῦ ἀληθινὰ μέλη ὄντες, τοῖς μὲν

ἡμετέροις ἔργοις χαίρειν εἴπωμεν, αὐτῷ δὲ ἐάσωμεν ἄγειν ἡμᾶς ὡς βούλεται.

Δ. Ἐπὶ τὰ ἐν τῇ ἑτέρᾳ πλακὶ μεταβῶμεν.

Μ. Ἐντεῦθεν ἀρχὴν λαμβάνει, Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου.

Δ. Τί ἐστι τὸ τιμᾶν;

Μ. Τὸ μετὰ πολλῆς ταπεινοφροσύνης τοῖς γονεῦσι προσφέρεσθαι, πειθηνίους τε αὐτοῖς εἶναι, διὰ τιμῆς ἄγοντας αὐτοὺς καὶ αὐτοῖς ἐπικουροῦντας, ἔν τε λόγῳ, πᾶσαν σπουδὴν περὶ αὐτοῦ ποιουμένους. Ἐξισοῖ γὰρ τούτοις τοῖς κεφαλαίοις περιέχεται ἡ ὀφειλομένη τοῖς γονεῦσι παρὰ τῶν τέκνων τιμή.



Δ. Προσθήκη δή;

Μ. Τῇ ἐντολῇ παραζεύγνυσιν ὁ Θεὸς ὑπόσχεσιν, οὕτω λέγων, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς τῆς ἀγαθῆς, ἧς κύριος ὁ θεός σου δίδωσί σοι.

Δ. Ποῖον ἐστιν ὃ λέγεις;

Μ. Ὅτι μακροβίους ἀπεργάζεται ὅσοι ἂν τοῖς γονεῦσι τὴν προσήκουσαν ἀπονείμωσι τιμήν.

Δ. Ἐπιπονωτάτου ὄντος τοῦ παρόντος βίου καὶ παντοδαπῶν γέμοντος κακῶν, πῶς ἐν εὐεργεσίας τάξει ποιεῖσθαι ἡμᾶς ὁ θεὸς βούλεται τὴν ζωῆς πολυχρονιότητα;

Ο νῦν

Μ. Ὁ νῦν βίος ὁπόσον οὖν ταλαίπωρος ἂν εἴη, ταῖς τοῦ Θεοῦ δωρεαῖς ὅμως αὐτὸν δεῖ τοὺς πιστοὺς ἐγκαταλέγειν οἷς δίδοται· ἄλλως τε καὶ ἐπεὶ παρ' ἐχθρῶν τινὰ εὔνοιαν ἐνδείκνυται ὅταν αὐτοὺς ἐνταῦθα ὄντας διασώζῃ.

Δ. Ἀλλὰ πότερον ἀκολούθως τούτοις, Θεῷ κατάρατον εἶναι λέξομεν ὅστις ἂν ὠκύμορος γένηται καὶ ἄωρος ἀποθάνῃ;

Μ. Οὐ γάρ. μάλιστά γε πολλοὺς ἔστιν ὁρᾶν τοσούτῳ βραχυβιωτέρους ὄντας τῶν ἄλλων, ὅσῳ περ ἂν πλέον ὑπὸ Θεοῦ ἀγαπῶνται.

Δ. Εἰ δὲ ταῦθ' οὕτως ἔχει, πῶς τὴν αὑτοῦ ὑπόσχεσιν ἐπιτελεῖ ὁ Θεός;



Μ. Πάντα τὰ ἀγαθὰ ἡμῖν ὁ Θεὸς ἐν τῷ παρόντι βίῳ δώσειν ὑπέσχετο, ἡμᾶς νοεῖν χρὴ ὅτι ἐπὶ τούτῳ τῷ διορισμῷ ἐπηγγείλατο, ἐφ' ὅσον τῇ ἡμετέρᾳ ψυχῇ σωτηριώδη μέλλει εἶναι. δεῖ γὰρ πρὸ πάντων λόγον αὐτῆς ἔχειν καὶ ἐπιμέλειαν ποιεῖσθαι. ἐπεὶ οὐκ ἂν ἄλλως δύναιτο καλῶς φέρεσθαι τὰ ἡμέτερα.

Δ. Τί δὲ οἱ τοῖς γονεῦσιν ἀπειθεῖς;

Μ. Οὐ μόνον ἐν τῇ τῆς κρίσεως ἡμέρᾳ παραδώσει τιμωρίᾳ αὐτοὺς ὁ Θεός, ἀλλὰ καὶ ἐνδημοῦντας ἔτι τῷ νῦν βίῳ κολάσει κατὰ τὸ σῶμα, ἢ πρὸ ὥρας αὐτοὺς ἀναρπάζων, ἢ θανάτου τι εἶδος καὶ ἐπονείδιστον

καὶ δυσφημίαν ἐπιπέμπων, ἢ ἄλλον τινὰ τρόπον.

Δ. Ἀλλ' οὐχὶ ἐκτῶς τὴν χαναὰν γῆν ἐπαγγέλλεται ἐν ταύτῃ τῇ ὑποσχέσει;

Μ. Πάνυ μὲν οὖν, τό γε πρὸς τοὺς Ἰσραηλίτας, ἀλλ' ἡμᾶς χρὴ τὸ ῥηθὲν, γενικώτερον ἐκλαμβάνειν. καὶ γὰρ ἐν οἷα δή ποτε ἂν χώρᾳ ὦμεν, δίδωσιν ἡμῖν κατοίκησιν ἐν αὐτῇ, ἅτε δὴ κύριος αὐτὸς ὅλης τῆς οἰκουμένης.

Δ. Οὐδὲν ἄλλο περιέχει τὸ πρόσταγμα;

Μ. Καί περ τῶν γεννητόρων μόνον ἐμνήσθη, ὅμως τοὺς ἐν ἀξιώματι ὄντας καὶ προϊσταμένους ἡμῶν περιλαμβάνει, ἐπειδὴ ὁ αὐτός ἐστι καὶ περὶ τούτων λόγος.



Δ. Πῶς;

Μ. Ὅτι καὶ αὐτοὶ τὸ προσαπεύειν ἡμῶν, παρὰ Θεοῦ λαβόντες ἔχουσιν. οὐδὲν γὰρ οὐδὲ γονέων, οὐδὲ ἀρχόντων, οὐδὲ τινος ἄλλου ἀξίωμά ἐστιν, εἰ μὴ κατὰ τὴν τοῦ Θεοῦ διάταξιν.

Δ. Λέγε τὸ ἕκτον πρόσταγμα.

Μ. Οὐ φονεύσεις.

Δ. Ἆρά γε μόνον τοῦ κοινοῦ φόνου ἀπέχεσθαι κελεύει;

Μ. Οὐδαμῶς. ἐπειδὴ γὰρ Θεός ἐστιν ὁ ταῦτα προστάττων, ἡμᾶς χρὴ ἐννοεῖν ὡς οὐ μόνον τὰ ἔκτοσθεν φαινόμενα ἔργα ἡμῶν ἐξετάζει, ἀλλὰ καὶ τὰ κεκρυμμένα

τῆς διανοίας ἡμῶν βουλεύματα.

Δ. Ἔοικας ἄρα ὑπαινίττεσθαι καὶ ἕτερα δηλῶν εἶδός τι φόνου ἀφανοῦς καὶ λεληθότος, οὗπερ καὶ αὐτὸ ὁ Θεὸς καθαρεύειν ἡμᾶς ἀξιοῖ, ταύτην τὴν ἐντολὴν διδούς.

Μ. Οὕτως ἔχει· ἐκεῖνο δέ ἐστι τὸ μισεῖν τὸν πέλας, καὶ ἐπιβούλως πρὸς αὐτὸν ἔχειν. τοῦτο γὰρ παρὰ Θεῷ οὐδὲν τοῦ φονεύειν διαφέρει.

Δ. Πότερα μόνον ἀπαγορεύει, μηδενὶ ἀπεχθάνεσθαι;

Μ. Οὐκ, ἀλλὰ κωλύων ἀπέχθειαν ἔχειν πρὸς τὸν πέλας, ἅμα δῆλός ἐστι κελεύων ἡμᾶς αὐτὸν ἐκ καρδίας φιλεῖν, καὶ ἄριστα φρονεῖν αὐτοῦ.



Δ. Ἐρχώμεθα ἐπὶ τὸ ἕβδομον.

Μ. Οὐ μοιχεύσεις.

Δ. Τί ἐστι τὸ κεφάλαιον τούτου τοῦ παραγγέλματος;

Μ. Ὅτι πᾶσαν μοιχείαν καὶ πορνείαν ὁ Θεὸς βδελύττεται. διὸ καὶ τούτων ἡμᾶς ἀπέχεσθαι χρή, εἴ γε μὴ μέλλομεν αὐτὸν ὀργίσειν.

Δ. Οὐδὲν ἢ ἄλλο βούλεται;

Μ. Τοῦτο ἀεὶ ἐνθυμεῖσθαι προσήκει, ὅτι ὁ ἡμέτερος νομοθέτης τοιοῦτός ἐστι φύσει, οἷος οὐ τὰ ἔξωθεν μόνον, ἀλλὰ καὶ μᾶλλον τὰ ἔνδοθεν ὁρᾶν, οἷα δὴ τοῖς ἐνθέσι τῆς ἡμετέρας καρδίας ἐμβατεύων

Δ. Τί οὖν πλέον περιέχει;

Μ. Ἐπειδὴ αἵ τε ψυχαὶ ἡμῶν καὶ τὰ σώματα, ναοὶ τοῦ ἁγίου πνεύματός εἰσιν, ἡμᾶς ἀξιοῖ ὁ Θεὸς ἄχραντα καὶ ἀμόλυντα διατηρεῖν αὐτά· καὶ οὐ μόνον ἔργῳ ἁγνοὺς εἶναι, ἀλλὰ καὶ μέχρι ῥημάτων καὶ ἐπιθυμιῶν καὶ σχημάτων, ὥστε παντελῶς κατὰ ψυχὴν καὶ κατὰ σῶμα καθαροὺς εἶναι.

Δ. Ἄγε δή, ποῖόν ἐστι τὸ ὄγδοον;

Μ. Οὐ κλέψεις.

Δ. Πότερον ὁ νομοθέτης ἐκείνους μόνον κλέπτας ἐγγράφει οὕσπερ οἱ παρ' ἀνθρώποις κείμενοι νόμοι ζημιοῦν ἀξιοῦσιν,

ἢ καὶ



ἢ καὶ ἄλλους τινὰς μετὰ τούτων τάττει;

Μ. Κλέπτας καταλέγει καὶ ὅσοι ἐφ' ᾧ πλεονεκτεῖν, τοὺς ἄλλους ἀποστεροῦσιν, ἢ βιαζόμενοι, ἢ παρακρουόμενοι αὐτούς, ἢ ἄλλῃ δι' ᾑτινιοῦν μηχανῇ ἀδίκῳ χρώμενοι.

Δ. Τί δέ, οἱ ὁρμήσαντες μὲν κλέπτειν, οὐ χωρήσαντες δὲ καὶ μέχρις ἔργου, καθαροὶ τούτου τοῦ ἐγκλήματός εἰσιν;

Μ. Τοῦτο ἀεὶ διὰ μνήμης ἔχειν δεῖ, ὅτι ὁ νομοθέτης, πνευματικὸς ὤν, οὐ μόνον τὰ ἔξωθεν δρώμενα ἐξετάζει, καὶ τοὺς προφανῶς κλέπτοντας κολάζειν ἀξιοῖ, ἀλλὰ καὶ τοὺς ὅσοι παρ' ἑαυτοῖς λογίζονται καὶ βουλεύονται πῶς οἱ ἄλλοι μειονεκτή-

σουσιν, ἵνα πλεονεκτεῖν αὐτοὶ δυνηθῶσιν.

Δ. Τί οὖν ἐστι τὸ ὑμέτερον ἔργον, κατὰ ταύτην τὴν ἐντολήν;

Μ. Τὸ ἕκαστον ἑαυτοῦ τὰ ἴδια ἔχειν.

Δ. Λέγε μοι τὸ ἔννατον πρόσταγμα.

Μ. Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ.

Δ. Ἆρά γε τὸ ἐν δικαστηρίῳ ἐπιορκεῖν ἀπαγορεύει μόνον, ἢ καὶ τὸ ὅπως δήποτε καταψεύδεσθαι τῶν πέλας;

Μ. Ἓν ἐπιορκίας εἶδος προθέμενος, διαγγέλλει μὴ καταψεύδεσθαί τινος τὸ παράπαν, μηδὲ ταῖς ὑμετέραις διαβο-

λαῖς



λαῖς ἀτιμίαν περιτιθέναι αὐτοῦ, ἢ ζημιῶσαι εἰς τὰ χρήματα.

Δ. Διατί οὖν ῥητῶς τῶν παρὰ τοῖς κριταῖς ἐπιορκούντων ἐμνήσθη;

Μ. Ἵνα ἡμῖν μισητὸν καὶ φευκτὸν ἀποδείξῃ τοῦτο τὸ ἁμάρτημα παραδηλῶν δῆτα ὅτι ὁ εἰθισμένος διαβάλλειν καὶ κατηγορεῖν ὁντιναοῦν, οὐδὲ ἐπιορκεῖν μετὰ ταῦτα ὀκνήσει παρὰ τοῖς δικασταῖς.

Δ. Ἆρ' οὖν μόνον καταλαλεῖν τινος, ἀλλ' ἔτι καὶ πονηρὰν ὑποψίαν ἔχειν περὶ αὐτοῦ, ἀπαγορεύει;

Μ. Ἀμφότερόν γε, ἀκολούθως τῇ προειρημένῃ αἰτίᾳ. ἃ γὰρ ἐν ὄψει τῶν ἀνθρώ-

των περὶ ὧν οὐ θέμις, ταῦτα ἐναντίον τοῦ θεοῦ οὐδὲ βουλεύεσθαι ὅσιον.

Δ. Εἰπὲ σὺ συντόμως τί τόδε τὸ πρόσταγμα περιέχει.

Μ. Τὸ μὴ δεῖν ἡμᾶς περὶ τῶν πέλας κακὴν ὑπόληψιν ἔχειν, μηδὲ αὐτοὺς διαβάλλειν, μᾶλλον δὲ περὶ πάντων διανοεῖσθαι ὡς ἀγαθῶν ὄντων, καὶ φυλάττεσθαι μή πως αὐτοὺς τοῖς ἡμετέροις λόγοις ἀτιμώσωμεν.

Δ. Ἐπὶ τὸ ἔσχατον ἐρχώμεθα.

Μ. Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου. οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου, οὐδὲ τὸν ἀγρὸν αὐτοῦ,

οὐδὲ



οὐδὲ τὸν παῖδα αὐτοῦ, οὐδὲ τὴν παιδίσκην αὐτοῦ, οὔτε τοῦ βοὸς αὐτοῦ, οὔτε τοῦ ὑποζυγίου αὐτοῦ, οὔτε παντὸς κτήνους αὐτοῦ, οὔτε ὅσα τοῦ πλησίον σου ἐστί.

Δ. Πνευματικοῦ ὄντος ὅλου τοῦ νόμου, ὡς πολλάκις εἶπες ἤδη καὶ πρότερον, καὶ τοῦ νομοθέτου ἐν τοῖς προειρημένοις προστάγμασιν οὐ μόνον τὰ ἔξωθεν ἡμῶν φαινόμενα, ἀλλὰ καὶ τὰ ἔνδοθεν ἀκριβῶς ἀξιοῦντος, τί πλέον ἐνταῦθα λέγεται;

Μ. Διὰ τῶν ἄλλων παραγγελμάτων τὰ κακὰ βουλεύματα ἡμῶν καὶ τὰς ἐπιθυμίας ἐλέγξας, ἐνταῦθα ἀπαγορεύει καὶ τὰ

διανοεῖσθαί τι κακὸν μετά τινος ἐπιθυμήσεως, κἂν μή τις προχωρῇ μέχρι τῆς προαιρέσεως τοῦ πράξειν αὐτό.

Δ. Ἆρα οὖν ἁμαρτίαις ἐγκαταλέγεις καὶ ἐπιθυμίας ἅστινας οὖν τὰς τὴν ἡμετέραν ψυχὴν ὑπερχομένας, κἂν μὴ αὐτοὶ παρασυρώμεθα ὑπ' αὐτῶν, ἀλλ' αὐταῖς ἀντιτείνωμεν;

Μ. Τοῦτο παντὶ που σαφὲς, ὅτι αἱ κακαὶ ἐνθυμήσεις ἡμῶν πᾶσαι ἐκ τῆς διαφθορᾶς τῆς ἡμετέρας φύσεως ἀρχὴν λαμβάνουσι, κἂν ἡμεῖς ἀντιμαχώμεθα αὐταῖς. ὃ δὲ νῦν λέγω, τοιοῦτό ἐστι· τοῦτο τὸ πρόσταγμα εἶναι περὶ τῶν πονηρῶν ἐπιθυμιῶν, γαργαλισμῷ τινι τὴν ἡμετέ-



ραν ψυχὴν ἐπάγεσθαι βουλομένων, ἐὰν καὶ οὐδὲν ἀνύωσιν, οὐδὲ πείθωσιν αὐτήν.

Δ. Λέγεις οὖν ὅτι μέχρι μὲν τούτου διείρηται μὴ δεῖν ἡμᾶς τῶν ἀλόγων παθῶν ἡττᾶσθαι, μηδὲ αὐτοῖς πείθεσθαι· ἐνταῦθα δὲ ὁ νομοθέτης οὕτω καθαροὺς ἡμᾶς ἀξιοῖ εἶναι, ὥστε μηδὲ ἐὰν κακήν τινα ἐπιθυμίαν παρεισδῦναι εἰς τὰς ἡμετέρας ψυχὰς, τὴν πρὸς ἁμαρτίαν παρορμῶσαν αὐτάς.

Μ. Ἔγωγε.

Δ. Οὐκοῦν δυνάμεθα νῦν πάντα τὰ τοῦ νόμου ἀνακεφαλαιώσασθαι;

Μ. Μάλιστα, εἰς δύο κεφάλαια διε-

λόντες αὐτόν· ὧν τὸ μὲν ἐστι, τὸ τὸν Θεὸν
ἀγαπᾶν ἐξ ὅλης τῆς ἡμετέρας καρδίας,
ἐξ ὅλης ψυχῆς, ἐξ ὅλης ἰσχύος· τὸ δὲ ἕτε-
ρον, τὸ τοὺς πέλας ὁμοίως ἑαυτοῖς φιλεῖν.

Δ. Τί ἐστι τὸ Θεὸν ἀγαπᾶν;

Μ. Τὸ ἀγαπᾶν ὡς Θεὸν ὄντα, ἤγουν ἀ-
ποδεχομένους αὐτὸν ὡς δεσπότην, σωτῆρα
καὶ πατέρα ὄντα. διὸ καὶ τοὺς αὐτὸν ἀγαπῶν-
τας ἀνάγκη ἅμα καὶ δεδιέναι καὶ σέβεσθαι,
πειθαρχεῖν τε καὶ πεποιθέναι αὐτῷ.

Δ. Τί δὲ βούλεταί αὐτῷ τὸ, ἐξ ὅλης
τῆς ἡμετέρας καρδίας, ἐξ ὅλης ψυχῆς
καὶ ἰσχύος ἀγαπᾶν τὸν Θεόν;

Μ. Τὸ οὕτω θερμῶς καὶ γνησίως αὐ-
τὸν φιλεῖν, ὥστε ἡμᾶς τὸ παράπαν οὐδὲν



ἐπιθυμεῖν, οὐδὲν ἐνθυμεῖσθαι, καὶ περὶ οὐ-
δὲν σπουδάζειν ὑπὲρ ἂν τῇ εἰς αὐτὸν ἀ-
γάπῃ ἐναντίον ᾖ.

Δ. Διασάφησον δὴ καὶ τὸ ἕτερον κεφά-
λαιον.

Μ. Ὥσπερ ἡμεῖς οὕτω πεφύκαμεν ἑαυ-
τοὺς ἀγαπᾶν, ὥστε ταύτην τὴν στοργὴν ὑ-
πάσας τὰς ἄλλας ὑπερβάλλειν· τὸν αὐ-
τὸν τρόπον προσήκει οὕτως εὐνοικῶς ἔχειν
ἡμᾶς πρὸς τοὺς πέλας, ὥστε ἀεὶ εἴτε
τι βουλευόμεθα εἴτε τι ποιοῦμεν, εἰς
τὴν πρὸς αὐτοὺς ἀγάπην, οἱονεὶ κανόνα,
ἀποσκοπεῖν.

Δ. Τίνας δὲ καλεῖς τοὺς πέλας;

Μ. Οὐ τοὺς συγγενεῖς μόνον καὶ φίλους,

ἢ ἀναγκαίους, ἀλλὰ καὶ τοὺς ἡμῖν ἀγνώστους, ἔτι δὲ καὶ τοὺς ἀπεχθῶς πρὸς ἡμᾶς ἔχοντας.

Δ. Ποίᾳ δέ τινι συναφείᾳ ἐκεῖνοι συνημμένοι ἡμῖν εἰσίν;

Μ. Δῆλον ὅτι ἐκείνῃ ᾗπερ ὁ Θεὸς ἅπαντας ἀνθρώπους ἀλλήλοις συνέζευξε καὶ συνῳκείωσεν. αὕτη γὰρ ἱερὰ καὶ ἁγία οὖσα τυγχάνει, ἔτι δ᾽ οἵα οὐδὲ ὑπὸ τῆς τῶν ἀνθρώπων πονηρίας ἀναιρεθῆναι.

Δ. Σὺ οὖν λέγεις, ὅτι εἴ τις ἡμᾶς μισεῖ, τοῦτο ἀπὸ τῆς ἐκείνου κακίας ἐστίν· οὐδὲν δὲ ἧττον καὶ αὐτὸν τοῖς πλησίον ἐγγράφειν δεῖ ἡμᾶς, πειθομένους τῷ Θεῷ.

Οὕτως



Μ. Οὕτως.

Δ. Ἐπειδὴ τὴν ἀληθῆ λατρείαν τοῦ Θεοῦ ὁ νόμος διδάσκει, οὐχὶ κατ᾽ αὐτὸν χρὴ βιοῦν τοὺς Χριστιανούς;

Μ. Πάνυ γε. ἀλλὰ μείζων ἐστὶν ἡ τῶν ἀνθρώπων ἀσθένεια, ἢ ὥστε ἕνα αὐτῶν πάντα τὰ καθήκοντα ἀποπληροῦν δύνασθαι.

Δ. Διατί οὖν οὕτω πλείους ἀξιοῖ ἡμᾶς εἶναι, εἴ γε τοῦτο ὑπὲρ δύναμιν ἡμετέραν ἐστίν;

Μ. Οὐδὲν ἄρα πλέον τῶν ὀφειλομένων ζητεῖ παρ᾽ ἡμῶν· ὅμως μέντοι ἐὰν πρὸς τὸν προτεθέντα κανόνα ῥυθμίζειν τὸν βί-

αὐτῶν βίον στερώμεθα μόνον, κἂν ἡμεῖς τῆς τελειότητος μακρὰν ἀπολειπώμεθα, τὸ ἐνδεὲς καὶ ὅσον οὐκ ἐφικτὸν, καίτοι ὀφειλόμενον, αὐτὸς καταχαρίζεται ἡμῖν.

Δ. Πότερον δέ σοι λόγος περὶ πάντων τῶν ἀνθρώπων ἁπλῶς, ἢ μόνον περὶ τῶν πιστῶν;

Μ. Ὁ μήπω τῷ τοῦ Θεοῦ πνεύματι ἀναγεννηθεὶς οὐχ οἷός τε ἐστὶν οὐδὲν οὐδὲ τοὐλάχιστον τῶν ἐν τῷ νόμῳ κελευομένων ποιεῖν. εἰ δὲ καί τις εἴη μέρος τι τοῦ νόμου φυλάττειν δυνάμενος, οὐχ ἱκανῶς τὰ δέοντα ἀποτελέσει. καὶ γὰρ ὁ κύριος καταρατὸν ἐνέχεσθαι λέγει τὸν μὴ ὅλον τὸν νόμον τελείως φυλάξαντα.



Δ. Ἐκ τούτων ἄρα δῆλον ὅτι ὥσπερ δύο ἀνθρώπων ἐστὶν εἴδη, οὕτω καὶ διττὸν τοῦ νόμου ἐστὶν ἔργον.

Μ. Οὕτω. καὶ γὰρ παρὰ μὲν τοῖς ἀπίστοις οὐδὲν ἄλλο δύναται, ἢ αὐτοὺς ἐλέγχειν καὶ ἀναπολογήτους ἀποδεικνύειν παρὰ τῷ Θεῷ. καὶ τοῦτό ἐστιν ἄρα τὸ ὑπὸ τοῦ Παύλου λεγόμενον, ὅτι αὐτὸν διακονίαν θανάτου καὶ κατακρίσεως καλεῖ. παρὰ δὲ τοῖς πιστοῖς πολὺ διαφέροντος ἔργου ἔλαχεν.

Δ. Τοῦ ποίου δή;

Μ. Πρῶτον διὰ τοῦ διδάσκειν αὐτοὺς ὡς οὐχ οἷοί τε εἰσὶ τοῖς ἰδίοις ἔργοις δικαιωθῆναι, τὸν ὄγκον αὐτῶν κατασεί-

λας, καὶ ἐξ ὑπερηφάνων ταπεινόφρονας ἀπεργασάμενος, ἑτοίμους ποιεῖ πρὸς τὸ ζητεῖν καὶ προσδοκᾶν τὴν ἑαυτῶν σωτηρίαν παρὰ Χριστοῦ. εἶτα καὶ παρέχει μείζονα ἀπαιτῶν αὐτοὺς ἢ κατὰ δύναμιν αὐτῶν, προτρέπει πρὸς τὸ διὰ εὐχῶν αἰτήσασθαι ἰσχὺν παρὰ τοῦ κυρίου. ἅμα δὲ ἐλέγχει αὐτοὺς συνειδότας ἑαυτοῖς ὑπευθύνοις οὖσι, καὶ ταῦτα ἵνα μὴ μέγα φρονῶσι. τελευταῖον δὲ διά τινι χαλινῷ, αὐτοὺς ἀνασέλλει, ὥστε μὴ ἔξω τοῦ φόβου τοῦ θεοῦ χωρεῖν.

Δ. Καί τοι οὖν ὅσον τῇ γῇ ἐνδιατρίβομεν χρόνον, οὐδέποτε τὰ τοῦ νόμου ἀκριβῶς



βῶς καὶ πλείως φυλάσσομεν, οὐκ ἄνευ λόγου ὅμως οὕτω πλείους ἡμᾶς ἀξιοῖ εἶναι. δείκνυσι γὰρ ἡμῖν τὸν σκοπὸν ἐφ' ὃν ἡμᾶς βάλλειν χρή, ἵνα ἕκαστος ἐφ' ὅσον ἐπέχει τῆς τοῦ θεοῦ χάριτος, τούτου στοχάζεσθαι πειραθῇ, καὶ τῇ ἄγαν σπουδῇ μείζονα προκοπὴν τῆς ἐπιβολῆς καθ' ἑκάστην ποιεῖν.

Μ. Ἔμοιγε δοκεῖ.

Δ. Οὐχὶ ἀκριβῆ ὅλης τῆς δικαιοσύνης στάθμην ὁ νόμος περιέχει;

Μ. Κομιδῇ. διὸ καὶ πρὸς τοῦτον μόνον ἀπευθύνειν ἡμᾶς τὸν ἡμέτερον βίον βούλεται. καὶ εἰ τούτου πέρα προβαίνοντες, κατατολμῶμέν τινος, τοῦτο ἐκεῖνος ἀ-

ποδοκιμάζει. οὐδενὶ γὰρ ἄλλῃ θυσίᾳ χαίρει ἢ ὑπακοῇ.

Δ. τί οὖν ὄφελος τοσούτων παραινέσεων καὶ νουθετήσεων, ἔτι δὲ καὶ παραγγελμάτων, ἃ πανταχοῦ παρὰ τοῖς προφήταις ἅμα καὶ ἀποστόλοις ἔστιν εὑρεῖν;

Μ. Οὐδὲν ἄλλο ταῦτ᾽ ἐστίν, ἢ ἐξηγήσεις τοῦ νόμου, αἳ γὰρ οὐκ ἀποτρέπονται ἡμᾶς τοῦ φυλάττειν αὐτόν, μᾶλλον δὲ ὥσπερ χειραγωγοῦσιν ἡμᾶς ἐπὶ τὴν τήρησιν αὐτοῦ.

Δ. Ἀλλὰ γὰρ οὐδὲν περὶ τῶν ἰδίᾳ ἑκάστου κλήσει καὶ διαγωγῇ ἐπιβαλλόντων διατάττεται.

Μ. Ἐξ ὧν ἐκέλευσεν τὸ δέον ἑκάστῳ ἀποδοῦναι

ἀποδοῦναι



ποδοῦναι, παντὶ ῥᾴδιον κατιδεῖν τίνα ἐστὶ τὰ τῶν ἐπιτηδεύματα αὐτῷ καθήκοντα. πρὸς τούτοις δέ, ὡς εἴπομεν, σποράδην κεῖνται ἐν τῇ ἱερᾷ γραφῇ ἑκάστου τῶν παραγγελμάτων διασαφήσεις. ἃ γὰρ ὁ Θεὸς ἐνταῦθα κεφαλαιωδῶς καὶ διὰ βραχέων εἴρηκε, ἀλλαχοῦ διὰ πλειόνων διεξέρχεται.

## ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ.

Ἐπειδὴ ἱκανῶς τὰ περὶ τοῦ δευτέρου μέρους τῆς τοῦ Θεοῦ τιμῆς διεξεληλύθαμεν, ὅπερ ἐστὶν ἐν τῷ πείθεσθαι αὐτῷ, ἑπόμενον ἂν τούτοις εἴη τὸ τρίτον διεξελθεῖν μέρος.

Μ. Εἴπομεν ὅτι ἐκεῖνό ἐστι, τὸ ἐπιβοᾶσθαι αὐτὸν ὅταν ἐν ἀπορίᾳ ὦμεν.

Δ. Ἄρα γε νομίζεις αὐτὸν μόνον ἐπικαλέσασθαι δεῖν;

Μ. Καὶ μάλα. τοῦτο γὰρ ἀπαιτεῖ παρ' ἡμῶν, ὡς προσῆκον ἦν καὶ ὀφειλόμενον τῇ αὐτοῦ θεότητι γέρας.

Δ. Εἰ ταῦθ' οὕτως ἔχει, πῶς θέμις ἡμῖν ἐστι τοὺς ἀνθρώπους προσκαλεῖν βοηθήσοντας;

Μ. Πολλῷ γε ταῦτα ἀλλήλοιν διαφέρει. θεοκλυτοῦντες γάρ, φανερὸν ἅπασι ποιούμεθα ὅτι οὐδὲν ἀγαθὸν παρ' οὐδενὸς ἄλλου προσδοκῶμεν, ἀλλ' ἐξ αὐτοῦ

μόνου



μόνου πάντα ἡμῖν ἀνάκειται. οὐδὲν δὲ ἧττον ἐπὶ τὴν τῶν ἀνθρώπων ἐπικουρίαν καταφεύγομεν, καθόσον ἡμῖν συγχωρεῖ ὁ Θεός, ὁ καὶ δυνατοὺς αὐτοὺς ποιήσας βοηθῆσαι ἡμῖν.

Δ. Σὺ οὖν λέγεις ὅτι εἰ καὶ τὴν ἀνθρώπων βοήθειαν προσκαλοῦμεν, ὅμως Θεὸν μόνον ἐπικαλούμεθα, ὅταν οὐκ ἔχωμεν ἐλπίδας ἐπ' αὐτοῖς, μόνον ἢ ἐπιβοώμεθα αὐτοὺς καθόσον ὁ Θεὸς αὐτοὺς ὑπηρέτας διέταξε καὶ διακόνους τῶν ἑαυτοῦ δωρεῶν καὶ εὐεργεσιῶν, ἵνα παρ' ἐκείνων αὐτὰς δεχώμεθα.

Μ. Σύμψηφος τοῖς σοῖς λόγοις εἰμί.

λέγομεν γὰρ ὅτι εἰ εὐποιοῦσιν ἡμᾶς οἱ ἄνθρωποι, θεῷ ἀνατιθέναι προσήκει, ὡς ταῦτα πάντα οὕτως διὰ τῶν χειρῶν ἐκείνων χαριζομένου ἡμῖν αὐτοῦ.

Δ. τί δ᾽ οὐχὶ δεῖ ὅμως τοῖς εὐεργετοῦσιν ἡμᾶς ἀνθρώποις εἰδέναι χάριν;

Μ. δεῖ γάρ, εἰ καὶ δι᾽ οὐδὲν ἄλλο, ἀλλά γ᾽ ὅτι τοιαύτης ἐκ τοῦ Θεοῦ τιμῆς ἀξιοῦνται, ὥστε διὰ τῶν χειρῶν αὐτῶν βούλεσθαι ἡμῖν τῶν ἑαυτοῦ ἀγαθῶν μεταδιδόναι. τοῦτο γὰρ ποιῶν, βούλεται ἡμᾶς αὐτῶν ἐξηρτῆσθαι, καὶ χάριν αὐτοῖς ὡς εὐεργέταις ὁμολογεῖν.

Δ. Οὐκοῦν ἐκ τούτων κατιδεῖν δυνάμεθα



μεθα ὅτι οὐ θέμις ἐστὶν οὐδὲ τοὺς ἀγγέλους, οὐδὲ τοὺς ἁγίους τῶν ἀνθρώπων ἐπικαλέσασθαι τοὺς μεταλλάξαντας τὸν βίον.

Δ. Δυνάμεθά γε. ἐπεὶ γὰρ τοῖς μὲν ἁγίοις οὐκ ἐνεχείρισεν ὁ Θεὸς τοῦτο τὸ ἔργον, τὸ βοηθεῖν ἡμῖν. τοὺς δὲ ἀγγέλους καί τοι ὑπηρέτας κατέστησε τῆς ἐπὶ τῇ σωτηρίᾳ ἡμετέρᾳ, οὐ βούλεται ὑφ᾽ ἡμῶν ἀρωγοὺς καλεῖσθαι.

Δ. Οὐκοῦν μὴ συμφωνεῖ τοῖς τοῦ Θεοῦ διατάγμασιν, ἀπαγορεύει ἃ [illegible];

Μ. Μάλιστα δ᾽ ὅτι τοῖς ὑπὸ Θεοῦ προσ[illegible]θεῖσιν οὐ στέργοι [illegible] τῆς ἀπιστίας [illegible]

φὲς τεκμήριον παρέχομεν, πρὸς δὲ τούτῳ, εἰ δέον πρὸς μόνον τὸν Θεὸν καταφεύγειν, ὥσπερ κελεύει, αὐτοὺς ἑτέρους καλοῦμεν ἐλπίδας τινὰς καὶ ὑπ' αὐτοῖς ἔχοντες, εἰδωλολατροῦντες ἁλισκόμεθα, ἅτε δὴ ὅπερ ὁ Θεὸς ἐξιδιοποιεῖται, προσνέμοντες αὐτοῖς.

Δ. Ἄγε δή, λέγωμεν περὶ τοῦ πῶς δεῖ προσεύχεσθαι. πότερον ἀπόχρη γλώττῃ προσευχὰς ποιεῖσθαι, ἢ καὶ αὐτὰς ἐκ καρδίας ποιητέον;

Μ. Τῆς μὲν γλώττης οὐκ ἀεὶ δέονται αἱ εὐχαί, νοὸς δὲ καὶ ἀγαθῆς διαθέσεως τῆς καρδίας πάντοτε.

Πῶς



Δ. Πῶς δή μοι τοῦτο πιστώσασθαι ἔχεις;

Μ. Ἐπειδὴ ὁ Θεὸς πνεῦμά ἐστι, πρὸς τὴν καρδίαν ἀεὶ ἀφορᾷ, μάλιστα δὲ ἐν ταῖς ἡμετέραις εὐχαῖς, δι' ὧν αὐτῷ διαλεγόμεθα. διὸ καὶ μόνοις τοῖς ἐν ἀληθείᾳ ἐπικαλουμένοις αὐτὸν ἐγγὺς ἔσεσθαι ὑπισχνεῖται. τοὐναντίον δὲ καταρᾶται τοῖς μὴ ἐκ καρδίας αὐτῷ προσευχομένοις.

Δ. Οὐδ' ἐτός οὖν ἄξιαί εἰσιν ἅπασαι αἱ εὐχαὶ ἃς ἂν γλώττῃ μόνον ποιησώμεθα.

Μ. Οὐ μόνον οὐδενὸς ἄξιαι τυγχάνουσιν οὖσαι, ἀλλὰ καὶ αὐταῖς ὁ Θεὸς πάνυ δυσαρεστεῖται.

Δ. Πῶς οὖν ἡμᾶς διακεῖσθαι δεῖ ὅταν προσευχώμεθα;

Μ. Πρῶτον μὲν τὴν ἡμῶν ἔνδειαν καὶ ταλαι-
πωρίαν εἰς νοῦν βάλλεσθαι χρή, καὶ ταύτης
αἰσθάνεσθαι· αἰσθομένους δὲ, λύπῃ σφο-
δρᾷ καταπιέζεσθαι· εἶτα δὲ τοιούτῳ πό-
θῳ κατέχεσθαι τοῦ Θεὸν ἡμῖν ἵλεω καὶ
εὐμενῆ καταστῆσαι, ὡς τούτῳ ἐκκαίεσθαι
τὰς ἡμετέρας καρδίας πρὸς τὸ προσεύ-
χεσθαι αὐτῷ.

Δ. Πότερον δὲ ἔμφυτος τῇ τῶν ἀνθρώ-
πων φύσει ἐστὶ τοιαύτη τῆς καρδίας διά-
θεσις, ἢ αὐτοῖς διὰ τῆς τοῦ Θεοῦ χάρι-
τος προσγίγνεται;

Μ. Δῆλον ὅτι πρὸς τοῦτο τῆς τοῦ Θεοῦ ἐ-
πιπνοίας δεόμεθα. λίαν γὰρ ἀναίσθη-
τοι ἐσμέν. ἀλλὰ τὸ τοῦ Θεοῦ πνεῦμα
πρὸς στεναγμοὺς ἀλαλήτους ἡμᾶς προ-
τρέπει, καὶ ταῖς ἡμετέραις καρδίαις τὴν
ἀρέσκουσαν Θεῷ διάθεσιν ἐμποιεῖ.

Δ. Ἆρα οὖν ἐντεῦθεν ἀποδείξει τις
ὅτι οὐχ ἡμέτερόν ἐστιν ἔργον ἑαυτοὺς ὀξύ-
νειν καὶ παρορμᾶν πρὸς τὸ προσεύχεσθαι;

Μ. Ἥκιστά γε. πάνυ δὲ τοὐναντίον ταῦτα
ἡμᾶς διδάσκει δεῖν, ὁσάκις αἰσθανώ-
μεθα ἑαυτῶν οὐκ εὖ διακειμένων πρὸς
τὰς εὐχάς, τὸν Θεὸν παρακαλεῖν ἵνα τὴν
ἡμετέραν καρδίαν ἐγείρῃ, καὶ ἐπιτηδεί-
ους ἀπεργάσηται πρὸς τὸ προσεύχεσθαι
ὡς δεῖ.

Δ. Οὐ μὴν ἄρα ὄφελος οὐδὲν τῆς γλώτ-
της ἐν ταῖς προσευχαῖς εἶναι.

Μ. Οἶδα ταῦτα. καὶ γάρ ἐστιν ὅτε τὴν καρδίαν στηρίζει, καὶ κωλύει πως ἀφίστασθαι τοῦ Θεοῦ βουλημένην. χωρὶς δὲ τούτων, ἐπειδὴ ἡ γλῶττα μᾶλλον τῶν ἄλλων μελῶν, ἐπὶ τῇ τοῦ Θεοῦ δόξῃ ἐπλάσθη, εἰκὸς ἄρα αὐτὴν πᾶσαν σπουδὴν περὶ ἐκείνης ποιήσασθαι. καὶ μὴν δὴ καὶ πολλάκις ὑπὸ τοῦ ζήλου τῆς καρδίας τὸ στόμα λανθάνει φθεγγόμενον.

Δ. Εἰ ταῦτα οὕτως ἔχει, τί χρὴ λέγειν περὶ τῶν ἐν ταῖς εὐχαῖς ξένοις καὶ ἀγνώστοις ῥήμασι χρωμένων;

Μ. Φανερὸν ὅτι διὰ τοιαύτης ὑποκρίσεως ἐντρυφῶσι τῷ Θεῷ.

Δ. Ἀλλ' ἆρα εὐχομένους ἡμᾶς ἄδη-
λον



λον δεῖ προσδοκᾶν τὴν ἀπόβασιν, ἢ πεπεῖσθαι ὅτι τῶν εὐχῶν ὁ Θεὸς ἐπακούσεται;

Μ. Δῆλον ὅτι πάντα τὸν προσεύχεσθαι βουλόμενον, πρότερον πεπεῖσθαι δεῖ ὅτι ὁ Θεὸς τὰς εὐχὰς ἐπιτελέσει, καὶ τεύξεται παρ' ἐκείνου ὧν ἂν αἰτήσῃ ἢ δὴ μέλλει αὐτῷ τὰ αἰτηθέντα συνοίσειν. Διὸ καὶ ὁ Παῦλος τὴν ἀληθῆ ἐπίκλησιν Θεοῦ ἀπὸ τῆς πίστεως ἀρχὴν λαμβάνειν φησί. καὶ γὰρ ἐὰν μὴ τῇ τοῦ Θεοῦ ἀγαθότητι πεποιθότες ὦμεν, οὐχ οἷοί τε ἐσμεν ἐπικαλέσασθαι αὐτὸν ὡς χρή.

Δ. Τίνα δὲ γνώμην ἔχεις περὶ τῶν διστα-
ζόντων καὶ ἀγνοούντων πότερον ὁ Θεὸς

εἰσακούει αὐτῶν, ἢ οὔ;

Μ. Οὐκ ἔστιν οὐδεμίαν φέρουσιν αὐτοῖς αἱ εὐχαί, ἅτε μὴ πρὸς τινα ὑπόσχεσιν ἀναφερόμεναι. κελευόμεθα δὲ πιστεύοντες αἰτεῖν, εἴ γε μέλλοιμεν τυχεῖν τῶν αἰτηθείτων.

Δ. Ὥρα νῦν ἰδεῖν τίνι τρόπῳ δυνάμεθα θαῤῥοῦντες προσιέναι τῷ Θεῷ, οὐδαμῶς ἄξιοι τούτου ὄντες.

Μ. Πρῶτον μὲν ἔχομεν τὰς ὑποσχέσεις, αἷς ἡμᾶς ἐναναπαύεσθαι χρή, μὴ ἐξετάζοντας τίνος ἄξιοι ἐσμέν. ἔπειτα δὲ εἰ Θεοῦ τέκνα ἐσμέν, ἀναπείθει ἡμᾶς διὰ τοῦ πνεύματος αὐτοῦ, προσέρχεσθαι

αὐτῷ



αὐτῷ ὡς πατρί. ἵνα δὲ μὴ ὀκνήσωμεν τῇ ἐνδόξῳ μεγαλειότητι αὐτοῦ παριστάναι ἡμεῖς οἱ ἁμαρτωλοί, καὶ οὐδὲν ἄλλο ἢ σκώληκες ὄντες, τὸν Χριστὸν ἡμῖν μεσίτην δίδωσιν, ἵνα ἐκείνου ἡμᾶς εἰσάγοντος, ἐλπίζοιμεν τεύξεσθαι τῆς χάριτος.

Δ. Ἆρα οὖν νομίζεις ἐπὶ ὀνόματι μόνου τοῦ Χριστοῦ τὸν Θεὸν ἐπικαλέσασθαι δεῖν;

Μ. Πάνυ γε. τοῦτο γὰρ ἡμῖν προστέτακται. καὶ δὴ ἡ ὑπόσχεσις τῷ προστάγματι προσεζεύγνυται, ὅτι μεσίτου ὄντος ἐκείνου ὁ Θεὸς τὰς ἡμετέρας εὐχὰς ἐπιτελέσει. Ἰωαν. ιδ.

Δ. Οὔκουν ἀβουλίας ἢ ὑπερηφανίας ἐγ-

καλεῖσθαι δεῖ, ὅστις τούτῳ τῷ μεσίτῃ
πίσυνος, ὡς φίλῳ πρόσεισι τῷ Θεῷ, καὶ
αὐτὸν ἐλπίζει τῶν εὐχῶν εἰσακούσεσθαι,
διὰ τοῦτον μόνον.

Μ. Ὁμονοῶ, ὁ γὰρ οὕτω προσευχόμε-
νος, φαίνεταί πως διὰ τοῦ στόματος ἐ-
κείνου τοῦτο ποιῶν· ἐπειδὴ ὑπὲρ ἡμῶν ἁ-
πάντων ἐκεῖνος ἐντυγχάνει.

Δ. Λέγωμεν δὴ τί περιέχειν χρὴ τὰς
τῶν πιστῶν εὐχάς. ἆρα ἔξεστι πᾶν τὸ εἰς
νοῦν ἐλθὸν αἰτεῖν παρὰ Θεοῦ, ἢ ὅρῳ τινὶ
τὰ τῶν εὐχῶν περιγέγραπται;

Μ. Εἰ εὐχόμενοι, τῷ θυμῷ καὶ ταῖς
ἡμῶν ἐπιθυμίαις ἐβουλόμεθα χαρί-
ζεσθαι,



ζεσθαι, οὐκ ἂν περὶ τὰς εὐχὰς ἐσωφρονοῦ-
μεν. καὶ γὰρ ἀμαθέστεροί ἐσμεν ἢ ὥστε τὰ
ἡμῖν λυσιτελοῦντα διακρίνειν δύνασθαι.
τοιγὰρ οὖν τὴν τῶν ἡμετέρων ἐπιθυμιῶν
ἄλογον ὁρμὴν πάσῃ ἀνάγκῃ χαλινοῦσθαι.

Δ. Τί οὖν εἰς τὰς εὐχὰς πρὸ ὁδοῦ γέ-
νοιτο ἄν;

Μ. Αὐτὸν τὸν Θεὸν χρὴ τὰ συμφέροντα
ἡμῖν ὑφηγεῖσθαι, καὶ ἡμᾶς αὐτῷ οἱονεὶ
χειραγωγοῦντι ἀκολουθεῖν.

Δ. Τίνα ἡμῖν κανόνα προὔθηκεν;

Μ. Εὑρίσκεται μὲν κατὰ πᾶσαν τὴν ἱε-
ρὰν γραφὴν ἐς τοῦτο φέροντα διδάγ-
ματα· ἵνα δὲ ἔχωμεν τινὰ σκοπὸν πρὸς

ὃν ἀποβλέποιμεν, ἡμῖν ὥσπερ ἕνα τύπον ἔδωκε κεφαλαιωδῶς περιέχοντα ὅσα ἡμῖν ἔξεστι καὶ συμφέρει αἰτήσασθαι παρ' αὐτοῦ.

Δ. Λέγε δὴ αὐτόν.

Μ. Τῶν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μαθητῶν δεηθέντων αὐτοῦ, ἵνα διδάξῃ αὐτοὺς προσεύχεσθαι, ἀπεκρίνατο, Ὅταν προσεύχησθε, λέγετε.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. ἐλθέτω ἡ βασιλεία σου. γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. καὶ ἄφες ἡμῖν



ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Δ. Ἵνα φανερὸν ἡμῖν γένηται τί περιέχει, εἰς πόσα κεφάλαια διαιρεῖται;

Μ. Εἰς ἕξ· ὧν τὰ μὲν τρία τὰ πρῶτα τῆς τοῦ Θεοῦ δόξης στοχάζεται μόνον, οὐδένα ἡμῶν λόγον ἔχοντα· τὰ δὲ λοιπὰ πρὸς ἡμᾶς καὶ πρὸς τὴν ὠφέλειαν ἡμῶν ἀναφέρεται.

Δ. Τί οὖν ἡμᾶς παρὰ Θεοῦ εὔχεσθαί τι προσήκει, οὗπερ ἂν οὐδὲν ἀπόνασθαι

μέλλοι μὲν;

Μ. Αὐτὸς καὶ τὴν ἀνεκδιήγητον αὐτοῦ ἀγαθότητα οὕτως οἰκονομεῖ καὶ κυβερνᾷ τὰ πάντα, ὥστε διὰ τῶν ἐς τὴν αὐτοῦ δόξαν φερόντων τὰ πρὸς τὴν ἡμετέραν σωτηρίαν κατασκευάζειν. αὐτίκα γοῦν, ἁγιαζομένου τοῦ ὀνόματος αὐτοῦ, ἁγιάζεσθαι καὶ ἡμᾶς ποιεῖ· ὁμοίως δὲ καὶ ὅταν ἡ βασιλεία αὐτοῦ ἔρχηται, μετέχομέν πως καὶ ἡμεῖς ταύτης. Δεῖ δὲ ὅμως, ὅταν ταῦτα αἰτῶμεν, πρὸς τὴν ἐκείνου δόξαν πάντως ἀποβλέπειν, πρὸς δὲ τὴν ἡμετέραν ὠφέλειαν μηδ᾽ ὅλως.

Δ. Κατὰ οὖν τὸν σὸν λόγον, ταῦτα τὰ

τρία



τρία αἰτήματα ἐπὶ ἀγαθῷ μὲν ὄντι ἡμῶν, ἡμᾶς μέντοι τῆς τοῦ Θεοῦ δόξης μόνον ἐφίεσθαι προσήκει δι᾽ αὐτῶν.

Μ. Ἀληθῆ. ὡσαύτως δὲ καὶ ἐν τοῖς λοιποῖς τρισί, καίτοι ἐπὶ τοιούτων ἡμῶν τὰ πρὸς τὴν ἡμετέραν ὠφέλειαν τείνοντα, οὐδὲν ἧττον τῆς τοῦ Θεοῦ δόξης λόγον ἔχειν χρή, καὶ πρὸς ταύτην πάντα ὧν ἂν ἐπιθυμήσωμεν, ἀναφέρειν.

Δ. Ἴθι δή, τῇ ἐξηγήσει ταύτης τῆς προσευχῆς ἐγχειρῶμεν. πρῶτον δέ μοι φράσον διατί ὁ Θεὸς τῆς πατρὸς προσηγορίας μᾶλλον ἢ τινος ἄλλης ἀξιοῦται.

Μ. Ἐπειδὴ προσευχομένων ἡμῶν, ἀναγ-

κη τὰς ἡμῶν συνειδήσεις βεβηκυίας εἶναι καὶ στεῤῥὰς τὴν πίστιν, πατρὸς ὄνομα προστίθησιν ἑαυτῷ, ὅπως τὴν χρηστότητα καὶ εὔνοιαν τὴν πρὸς ἡμᾶς παραδηλοῖ, ἵνα πάντα φόβον ἀποθέμενοι, θαῤῥούντως αὐτῷ, ὡς εὐμενεῖ ἡμῖν ὄντι, προσευχώμεθα.

Δ. Ἄρα οὖν τολμήσομεν ἀδεῶς προσιέναι τῷ Θεῷ, ὡς παῖδες τῷ πατρὶ προσέρχεσθαι ἐθέλουσι;

Μ. Πάνυ μὲν οὖν. ἀλλὰ καὶ μᾶλλον ἐλπίσομεν παρ' αὐτῷ τεύξεσθαι ὧν ἂν αἰτήσωμεν, ἢ παρ' ἐκείνων. εἰ γὰρ ἡμεῖς, πονηροὶ ὄντες, τοῖς ἡμετέροις υἱοῖς ἄρτον αἰτή-



αἰτήσασιν οὐχ ὑπομένομεν ἀναίνεσθαι, πῶς ἂν ἡμᾶς δεομένους αὐτῷ ἀπώσαιτο ὁ οὐράνιος πατήρ, ὃς οὐ μόνον ἀγαθός ἐστιν, ἀλλ' αὐτοαγαθότης;

Δ. Οὐκοῦν ταύτῃ τῇ προσηγορίᾳ τεκμαίρεσθαι ἔχομεν, δεῖν ἡμᾶς τῷ Θεῷ εὐχὰς προσενεγκεῖν διὰ τοῦ Χριστοῦ, συνηγόρου ὄντος, ὥσπερ καὶ εἴρηται;

Μ. Μάλιστα, καὶ γὰρ οὐκ ἄλλως ἣν τάξιν ἐπέχομεν παρ' αὐτῷ, ἢ καθόσον τοῦ Χριστοῦ μέλη ἐσμέν.

Δ. Διατί οὖν σὲ πατέρα ἰδίᾳ ὀνομάζεις, ἀλλὰ κοινῇ, πατέρα ἡμῶν;

Μ. Οὐδὲν κωλύει ἕνα ἕκαστον τῶν πιστῶν

πατέρα ἑαυτῷ ἰδίως αὐτὸν καλεῖν. ἀλλ᾽ ὁ κύριος ἐνταῦθα ἀξιῶν ἡμᾶς πατέρα ἡμῶν ἐν κοινῷ προσαγορεύειν αὐτὸν, διδάσκειν ἠθέλησεν, οὐ δεῖν ἡμᾶς ἐπιμελουμένους ἑαυτῶν, τοῦ πέλας ἀφροντίστως ἔχειν, ἀλλὰ τὴν πρὸς αὐτοὺς ἀγάπην δεῖξαι καὶ ἐν τῷ ὑπὲρ αὐτῶν εὔχεσθαι.

Δ. Τί σημαίνει τὸ, ὁ ἐν τοῖς οὐρανοῖς.

Μ. Ὁμοιόν ἐστιν ὡς εἰ ὕψιστον, μεγαλοδύναμον, καὶ ἀκατάληπτον αὐτὸν ὀνομάζοιμι.

Δ. Πῶς τοῦτο φής;

Μ. Μανθάνομεν γὰρ ἐντεῦθεν, ὅτι ἐπικαλου-



καλουμένων ἡμῶν τὸν θεὸν, προσήκει τὰς ἡμετέρας ψυχὰς ἄνω βλέπειν, ἵνα μὴ ἀνθρωπίνως καὶ ταπεινῶς περὶ αὐτοῦ διανοούμενοι, τῇ ἡμετέρᾳ φαντασίᾳ αὐτὸν μετρῶμεν καὶ περιγράφωμεν, καὶ οὕτω συγκαταβαίνειν ἐς τὰς ἡμετέρας ἐπιθυμίας αὐτὸν ἀξιῶμεν· μᾶλλον ἢ τὴν ἔνδοξον αὐτοῦ μεγαλειότητα ἐντρεπώμεθα. ἔτι δὲ τοῦτο ἡμᾶς ἄγει πρὸς τὸ μᾶλλον αὐτῷ πεποιθέναι, ὅταν δηλαδὴ ἐνθυμηθῶμεν ὅτι πάντων ἄρχει καὶ τὰ πάντα κατὰ τὸ αὐτῷ ἀρέσκον διακυβερνᾷ.

Δ. Νῦν μοι τὸ πρῶτον κεφάλαιον διασάφησον.

Μ. Τὸ τοῦ Θεοῦ ὄνομα καλεῖται ἡ παρὰ ἀνθρώποις εὐδοξία αὐτοῦ. εὐχόμεθα ἐστὶν πανταχοῦ καὶ κατὰ πάντα εὐδοκιμεῖν αὐτὸν καὶ εὐδοξεῖν.

Δ. Πότερον ἐστὶν ἡ τοῦ Θεοῦ δόξα τοιαύτη ὥστε εἶναι οἵα αὔξεσθαι, ἢ μειοῦσθαι;

Μ. Οὐ πάνυ, ὅσον γε καθ' ἑαυτήν. ἀλλ' εὐχόμεθα ἀοίδιμον καὶ περισπούδαστον αὐτὴν τοῖς ἀνθρώποις εἶναι, ὥσπερ καὶ ἄξιον, καὶ γινώσκειν αὐτοὺς τὴν ἐπιφαινομένην πᾶσι τοῖς τοῦ Θεοῦ ἔργοις δόξαν, ἵνα λάβωσιν ἀπὸ πάντων ἀφορμὴν τοῦ δοξάζειν αὐτόν.

Δ. Ἐν δὲ τῷ δευτέρῳ κεφαλαίῳ τίνα νοεῖς τὴν βασιλείαν τοῦ Θεοῦ;



Μ. Δύο ἐστὶν ἐν οἷς θεωρεῖται μάλιστα. ὅταν δηλονότι τοὺς ἐκλεκτοὺς διὰ τοῦ πνεύματος αὐτοῦ ἄγῃ καὶ κυβερνᾷ, καὶ ὅταν τοὺς κακούς, τοὺς ἀφηνιάζοντας τῆς δουλείας αὐτοῦ, κακῶς ἀπολῇ. ἵνα φανερὸν ἅπασι γένηται ὅτι οὐδὲν τῇ δυνάμει αὐτοῦ ἀντιτάξασθαι δύναται.

Δ. Πῶς δὲ ταύτην τὴν βασιλείαν ἐλθεῖν αἰτεῖς;

Μ. Ἵνα τὸν τῶν πιστῶν ἀριθμὸν καθ' ἑκάστην αὔξῃ ὁ κύριος, καὶ ἀλλεπαλλήλοις τοῦ πνεύματος αὐτοῦ χαρίσμασι κοσμῇ, ἔστ' ἂν αὐτοὺς τελειώσῃ· τήν τε αὐτοῦ ἀλήθειαν ἐπιπλεῖον φανεροῖ, ἐφ' ᾧ τὸ τοῦ διαβόλου σκότος ἀποσκεδασθῆναι, καὶ

τὴν δικαιοσύνην αὐτοῦ πρόδηλον ποιῇ, ἐπὶ τοῦ πᾶσαν ἀδικίαν καταλύεσθαι.

Δ. Ἆρ' οὐχὶ ταῦτα ὁσημέραι ἔστιν ἰδεῖν γινόμενα;

Μ. Ἔστι μὲν ὡς γίνεται. ἀλλ' εὐχόμεθα ταύτην τῆς βασιλείας συνεχῶς ἐπίδοσιν λαμβάνειν, ἕως ἂν ἐς τὸ ἄκρον ἀφίκηται. ὃ τῇ ἐσχάτῃ ἡμέρᾳ μέλλει συμβαίνειν, ἐν ᾗ μόνος ὑψωθήσεται, καὶ τὰ πάντα αὐτῷ ὑποταγήσεται, ἔτι δὲ καὶ τὰ πάντα ἐν πᾶσιν ἔσται.

Δ. Πῶς ἡ εὐχὴ τὸ τοῦ Θεοῦ θέλημα γενηθῆναι;

Μ. Οὕτως ὥστε πᾶν κτίσμα εὐήνιον





αὐτῷ εἶναι καὶ εὐπειθές, ἵνα μηδὲν παρ' ὃ ἂν αὐτῷ δοκῇ, γίνηται.

Δ. Ἆρα οὖν νομίζεις ὅτι ἐνδέχεταί τι ποιεῖν, παρὰ τὴν τοῦ Θεοῦ γνώμην;

Μ. Οὐκ αἰτοῦμεν ἁπλῶς ἵνα ἐπιτελῇ πάντα τὰ διεγνωσμένα αὐτῷ, ἀλλὰ καὶ ἵνα πᾶσαν ἀπείθειαν πρόρριζον ἀποσπάσας, πᾶν θέλημα πρὸς τὸ ἴδιον ἐφαρμόζῃ, καὶ πάντας ἑαυτῷ ὁμοψύχους ποιῇ.

Δ. Οὐκοῦν, ὅταν τοῦτο εὐχώμεθα, ταῖς ἡμετέραις ἐπιθυμίαις ἀποτασσόμεθα;

Μ. Ἔγωγέ φημι. ἵνα δηλαδὴ οὐ μόνον τὰς ἐν ἡμῖν ἀλόγους ὁρμάς, τὰς τοῦ

θελήματι αὐτοῦ ἐναντιουμένας, ἀναστά-
τους ποιῇ, ἀλλὰ καὶ ἵνα καινὴν διάθεσιν
ταῖς ἡμετέραις καρδίαις ἐμβάλλῃ· ὥς
μηδὲν ἡμᾶς ἀφ᾽ ἑαυτῶν βούλεσθαι, ἀλλὰ
τὸ βούλημα ἡμῶν, βούλημα εἶναι τοῦ
ἐνοικοῦντος ἐν ἡμῖν πνεύματος αὐτοῦ,
ὅπως ἂν κατὰ πάντα συμφρονῶμεν αὐτῷ.

Δ. τίνος δὲ χάριν πρόσκειται τὸ, ὡς
ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.

Μ. Ἐπειδὴ τὰ οὐράνια κτίσματα αὐτοῦ
λέγω δὲ οἱ ἄγγελοι, πᾶσαν σπουδὴν ποι-
οῦνται ἐπὶ τῷ προθύμως αὐτῷ πεί-
θεσθαι, εὐχόμεθα τοῦτο ὁμοίως γίνεσθαι
ἐν τῇ γῇ, τὸ δηλονότι ἕκαστον ἡμῶν προθυ-
μεῖσθαι πειθαρχεῖν αὐτῷ.



Δ. Ἄγε δή, ἐπὶ τὸ δεύτερον ἐρχώμεθα
μέρος. τί σημαίνει ὁ ἐπιούσιος ἄρτος,
ὃν αἰτεῖς;

Μ. Πάντα δήπουθεν ὅσων χρείαν ἔχει
τὸ ἡμέτερον σῶμα. οὐ μόνον δὲ τὰ πρὸς
τροφὴν καὶ τὸν ἱματισμὸν ἀναγκαῖα, ἀλλὰ
καὶ τἄλλα ὧν προσδεομένους ἡμᾶς ὁ Θεὸς
ὁρᾷ, πρὸς τὸ ἐν ἡσυχίᾳ καὶ ἄνευ θορυ-
βων ἐσθίειν τὸν δοθέντα ἄρτον.

Δ. Ἀλλὰ διατί παρὰ Θεοῦ τοῦτο βούλει
λαβεῖν, ὃ τοῖς ἰδίοις πόνοις ἡμᾶς πορί-
ζεσθαι ἀξιοῖ;

Μ. Εἰ καὶ ἡμᾶς πονεῖν εἰκός, ἵνα τὰ ἐ-
πιτήδεια πρὸς τὸν βίον κτώμεθα, ὅμως

δὲ οὐ διὰ τῆς ἡμῶν φιλοπονίας τρεφόμε-
θα, ἀλλὰ μόνον διὰ τῆς εὐλογίας τοῦ
Θεοῦ, δι᾽ ἧς οἱ κάματοι ἡμῶν εὐτυχοῦσι.
ἔτι δὲ καὶ τοῦτο νοεῖν ἄξιον, ὅτι οὐ τὰ σιτία
ἐστὶ τὰ τρέφοντα ἡμᾶς, κἂν ἄφθονα πα-
ρῇ, ἀλλ᾽ ἡ τοῦ Θεοῦ δύναμις, ἐκείνοις ὥσ-
περ μόνον ὀργάνοις τισὶ, χρωμένη.

Δ. Πῶς δὲ σὸν ἄρτον καλεῖς, ὅν σοι δί-
δοσθαι εὔχῃ;

Μ. Τῇ τοῦ Θεοῦ ἀγαθότητι ἡμέτερος γί-
νεται, καίτοι γε μὴ ὀφειλόμενος ἡμῖν.
ἔπειτα δὲ καὶ μανθάνομεν ἐντεῦθεν τὸ
μὴ δεῖν τοῦ ἀλλοτρίου ἄρτου ἐπιθυμεῖν,
ἀλλὰ στέργειν ὧν ἂν νομίμως καὶ κατὰ τὸ
πρόσταγμα τοῦ Θεοῦ πορισώμεθα.



Δ. Τίνος δὲ χάριν λέγεις ἐπιούσιον καὶ
σήμερον;

Μ. Ἵνα παιδευθῶμεν μὴ δεῖν πλείω
τῶν ἀναγκαίων αἰτήσασθαι.

Δ. Εἰ δεῖ πάντας ταύτῃ τῇ προσευ-
χῇ χρῆσθαι, πῶς οἱ πλούσιοι τῶν ἀνθρώ-
πων οἱ πολὺν βίον εἰς μακρὸν χρόνον
ταμιευσάμενοι, τὰ πρὸς ἡμέραν μίαν
ἀναγκαῖα αἰτήσουσι;

Μ. Τοῦτο πλουσίους ἅμα καὶ πένητας
εἰδέναι χρὴ, ὅτι οὐδὲν ὧν κέκτηνται, αὐ-
τοὺς ὠφελεῖν δύναται, εἰ μὴ ἐφόσον ὁ
Θεὸς δίδωσι τὸ δύνασθαι τούτοις χρῆσθαι,
καὶ τῇ αὐτοῦ χάριτι τὴν τούτων χρῆσιν ὀ-

νήσιμον αὐτοῖς καθίστησι, καὶ οὕτω, καὶ τὰ πολλὰ κεκτημένοι, οὐδὲν ἔχουσιν εἰ μὴ καθόσον ὁ Θεὸς αὐτοῖς χαρίζεται.

Δ. Τί αἰτεῖς ἐν τῷ πέμπτῳ κεφαλαίῳ;

Μ. Τὸ συγγνώμης τῶν ἁμαρτιῶν τυχεῖν.

Δ. Ἆρ' οὐδεὶς τῶν ἀνθρώπων οὕτω δίκαιος, ὥστε μηδὲν δεῖσθαι ταύτης;

Μ. Μηδαμῶς. τοῦτον γὰρ τῆς προσευχῆς τύπον τοῖς ἰδίοις ἀποστόλοις προθεὶς, ἅμα καὶ ὅλῃ τῇ ἐκκλησίᾳ κατέλιπε. διὸ καὶ εἴ τις τούτῳ μὴ βούλοιτο χρῆσθαι, ἤτοι τῇ τῶν πιστῶν κοινωνίᾳ ἀνάγ-

κη



καὶ ἀποτάξασθαι. ἄλλως τε καὶ ἐπεὶ τῆς ἱερᾶς γραφῆς ἀκούομεν λεγούσης, ὅτι ἐὰν καὶ ὁ πάντων ἀνθρώπων δικαιότατος ἑνὸς ἐγκλήματος καθαρὸν αὐτὸν ὄντα δεῖξαι θέλῃ τῷ θεῷ, χίλια ἄλλα ἐπενεχθήσονται αὐτῷ. δεῖ οὖν ἡμᾶς ἐπὶ τὸν ἔλεον αὐτοῦ μόνον καταφεύγειν.

Δ. Πῶς δὴ νομίζεις ἀφίεσθαι ἡμῖν τὰς ἁμαρτίας;

Μ. Ὡς τὰ τοῦ χριστοῦ ῥήματα ἐμφανίζει. τὰ μὲν γὰρ ἡμέτερα πλημμελήματα ὀφειλαί εἰσι, δι' ἃς τὸν αἰώνιον θάνατον κατεκρίθημεν, καὶ τούτῳ ἔνοχοί ἐσμεν. διὸ καὶ δεόμεθα τῆς θεοῦ χρηστότη-

τος καὶ ἐλευθεριότητος, ὅπως ἂν ἐκείνας ἡμῖν χαρίζηται.

Δ. Σὺ οὖν λέγεις ἡμᾶς συγγνώμης τῶν ἀδικημάτων τυχεῖν δωρεὰν καὶ διὰ τοῦ ἐλέου τοῦ Θεοῦ μόνον, ἅτε δὴ μηδεμίαν ἀντίδοσιν παρ' ἡμῶν λαβεῖν δυναμένου.

Μ. Ἔγωγε. καὶ γὰρ οὐκ ἂν ἱκανοὶ εἴημεν οὐδὲ ὑπὲρ τοῦ ἐλαχίστου τῶν ἡμετέρων ἁμαρτημάτων ἀποτῖσαι. ἀνάγκη οὖν ἐστὶ τὸν Θεὸν ἡμῖν διὰ μόνον τὸ ἐλεητικὸν αὐτοῦ συγγινώσκειν.

Δ. Τί δὲ ὄφελος ἡμῖν ἐκ τοῦ συγγνώμης τῶν πλημμελημάτων τυχεῖν παρὰ Θεοῦ;

Μ. Τότε δὴ ἡμεῖς οὕτως ἀρέσκομεν αὐτῷ,

τῷ.



ὡς δίκαιοι καὶ ἄμεμπτοι ὄντες. ἅμα δὲ καὶ τοῦτο τὴν πατρῴαν αὐτοῦ πρὸς ἡμᾶς εὔνοιαν ταῖς ἡμετέραις ψυχαῖς πιστοῦται καὶ βεβαιοῖ, ἣ σωτηρίαν ἡμῖν φέρει.

Δ. Λέγων δὲ, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, ἆρα δοκεῖς ἀξίους ἡμᾶς εἶναι συγγνώμης τυχεῖν παρ' αὐτοῦ, ἐὰν καὶ αὐτοὶ τοῖς ἀνθρώποις συγγινώσκωμεν;

Μ. Ἥκιστα. οὕτω γὰρ οὐκ ἂν δωρεὰν ἐδίδοτο αὕτη, οὐδὲ διὰ μόνην τὴν τοῦ Χριστοῦ ἀπότισιν, τοῦ τὸ οἰκεῖον αἷμα ὑπὲρ ἡμῶν καταβαλόντος. ὅπερ ἄτοπον λέγειν. ἀλλὰ καθόσον ἡμεῖς τὴν πρὸς ἀλλήλους ἀμ-

νησία, τῆς ἐκείνου πρᾳότητος καὶ χρηστότητος μιμηταί ἐσμεν, καὶ οὕτω φανερὸν ποιούμεθα ὅτι ἐκείνου τέκνα ἐσμὲν, τούτῳ διονεὶ συνθήματι, τὴν ἡμῶν πίστιν βεβαιοῦσθαι ἠθέλησε, καὶ διδάσκειν ὅτι ἐὰν πάλιν μὴ πρᾶοι καὶ συγγνωμονικοὶ ὦμεν, πάντως προσδοκᾷν δεῖ ἀποτομίᾳ χρήσεσθαι εἰς ἡμᾶς τὸν Θεόν.

Δ. Σὺ ἴσως ἀποφαίνεσθαι ἔοικας ὅτι ὁ Θεὸς ἀθετεῖ καὶ τοῖς ἑαυτοῦ παισὶν ἐγγράφειν οὐκ ἀξιοῖ, ὅσοι ἀμνησικακεῖν οὐ δύνανται· Διὸ καὶ οὐ δεῖν ἐλπίζειν αὐτοὺς τεύξεσθαι συγγνώμης παρὰ Θεοῦ.

Μ. Οὕτω. καὶ δὴ καὶ ἐκ τούτων δῆλον ὅτι
ἐπ'



ἐπ' αὐτοῖς ἀληθεύσει τὸ τοῦ εὐαγγελίου, ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν.

Δ. Λέγε τὰ μετὰ ταῦτα.

Μ. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Δ. Ἆρά γε διὰ τούτων ἓν μόνον αἰτεῖς;

Μ. Ναί. τὸ γὰρ δεύτερον κῶλον ἐπεξηγητικὸν τοῦ προτέρου ἐστίν.

Δ. Ὃ οὖν αἰτεῖς, ποῖόν ἐστιν;

Μ. Ἵνα μὴ εἰς τὸ κακὸν ἡμᾶς ἐξολισθαίνειν ἐᾷ, μηδὲ τοῦ διαβόλου καὶ τῶν κακῶν ἐπιθυμιῶν ἡττηθῶμεν, αἳ συνεχῶς πολεμοῦσιν ἡμῖν. ἀλλὰ δυνατοὺς ἡμᾶς

πειῇ ἀντιστῆναι τούτοις, ἡμῶν τε ἀντέχηται, καὶ κινδυνευομένων ὑπερασπίζῃ·

Δ. Πῶς δὲ τοῦτο γένοιτο ἄν;

Μ. Ὅταν τῇ τοῦ πνεύματος αὐτοῦ ἐπιπνοίᾳ, μῖσος μὲν τοῦ κακοῦ, τοῦ δὲ ἀγαθοῦ πόθον ἡμῖν ἐνθῇ· ὥστε τῆς μὲν δικαιοσύνης αὐτοῦ ἔχεσθαι, τὴν δὲ ἁμαρτίαν ἀποτρέπεσθαι. τῇ γὰρ τοῦ ἁγίου πνεύματος δυνάμει καταπαλαίομεν τὸν διάβολον, τήν τε ἁμαρτίαν καὶ τὴν σάρκα.

Δ. Πότερον δὲ πάντες τούτων χρείαν ἔχουσι;

Μ. Καὶ μάλα γε. ὁ γὰρ διάβολος ἀεὶ ἐπιβουλεύων ἡμῖν διατελεῖ, καὶ περινοστεῖ

ὡς



ὡς λέων ὠρυόμενος, ζητῶν ἡμᾶς καταφαγεῖν· ἡμεῖς δὲ ὑπὸ ἀσθενείας αὐτίκα μάλα ἀπωλοίμεθα ἄν, εἰ μὴ ἐκράτυνεν ἡμᾶς ὁ Θεός, ὥστε καὶ κρείττονας αὐτοῦ εἶναι.

Δ. Τί δὲ ἐνταῦθα σημαίνει τὸ πειρασμός;

Μ. Τοὺς δόλους καὶ τὰς πανουργίας τοῦ διαβόλου, αἷς ἀπατᾶν ἡμᾶς πειρᾶται, ὡς εὐαλώτους οὔσας ὁρῶν τὰς ἡμετέρας ψυχάς. ἄλλως τε καὶ ἡμεῖς φύσει μᾶλλον ἐγκατάφοροι πρὸς τὸ κακόν ἐσμεν, ἢ τὸ ἀγαθόν.

Δ. Τίνος δὲ χάριν παραιτῇ αὐτὸν μὴ

εἰσενεγκεῖν σε εἰς πειρασμὸν, εἴ γε τοῦτο
ἴδιόν ἐστιν ἔργον τοῦ Διαβόλου;

Μ. Καθάπερ τῶν πιστῶν οὕτω προνοεῖται
ὁ Θεὸς, ὥστε μὴ ἐᾶν αὐτοὺς ταῖς τοῦ Δια-
βόλου ἀπάταις περιασύρεσθαι, μηδὲ τῆς ἁ-
μαρτίας ἐμπλησθῆναι· οὕτω δὲ οὓς ἂν κο-
λάζειν ἀξιοῖ, οὐ μόνον τῆς αὐτοῦ βοηθείας
καὶ χάριτος ἐρήμους καθίστησιν, ἀλλὰ καὶ
τῇ τοῦ Διαβόλου τυραννίδι ὑποχειρίους
ποιεῖ, τά τε νοήματα αὐτῶν τυφλῶν καὶ εἰς
ἀδόκιμον νοῦν παραδιδοὺς αὐτούς.

Δ. Τίνος δὲ ἕνεκα πρόσκειται ταῦτα,
ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ
ἡ δόξα εἰς τοὺς αἰῶνας.

ἵνα



Μ. Ἵνα μάθωμεν ὅτι δεῖ ἡμᾶς ἐλπί-
ζειν τεύξεσθαι ὧν ἂν προσευχόμενοι αἰ-
τήσωμεν, οὐ δι' ἡμᾶς, ἐπειδὴ ἀναξίους
καὶ τοῦ ἐπικαλέσασθαι αὐτὸν ὄντας· ἀλ-
λὰ διὰ τὴν τοῦ Θεοῦ δύναμιν καὶ ἀγαθό-
τητα. Ἅμα γὰρ διδασκόμεθα διὰ τού-
των, ὅτι τὰς ἡμετέρας εὐχὰς ἀεὶ
προσήκει εἰς τὰ τοῦ Θεοῦ ἀποτελευτᾶν
ἐγκώμια.

Δ. Ἆρ' οὖν θέμις αἰτῆσαί τι παρὰ τοῦ
Θεοῦ χωρὶς τῶν ταύτῃ τῇ προσευχῇ πε-
ριεχομένων;

Μ. Ἡμᾶς μὲν οὐδὲν κωλύει καὶ ἄλλαις
λέξεσι καὶ ἄλλως εἰδελίτου προσευχο-
μένους χρῆσθαι, ὅμως δὲ εὖ εἰδέναι τοῦτο

χρή, ὡς οὐδεμία προσευχὴ ἀρέσκειν Θεῷ δύναται, ἐὰν μὴ πρὸς ταύτην ἀναφέρηται, καὶ ὡς πρὸς κανόνα ῥυθμίζηται.

## ΠΕΡΙ ΤΟΥ ΛΟΓΟΥ ΤΟΥ ΘΕΟΥ.

ΩΡΑ νῦν ἡμᾶς τὰ περὶ τοῦ τετάρτου μέρους τῆς ὀφειλομένης τῷ Θεῷ τιμῆς διεξελθεῖν.

Μ. Εἴπομεν ὅτι τοῦτο κεῖται ἐν τῷ πεπεῖσθαι ὅτι αὐτὸς αἴτιος πάντων ἀγαθῶν ἐστιν, οὐ μόνον δὲ πεπεῖσθαι, ἀλλὰ καὶ τοῦτο πανταχοῦ ἐξαγορεύειν, ἵνα δοξασθῇ ὑφ' ἡμῶν.

Οὐχὶ



Δ. Οὐχὶ τινα κανόνα τούτου ἡμῖν προὔθηκε;

Μ. Πάντα τὰ αὐτοῦ ἐγκώμια, καὶ πάντες οἱ πρὸς αὐτὸν εὐχαριστήριοι λόγοι οὓς ἐν τῇ ἱερᾷ γραφῇ ἔχομεν, ἀντὶ κανόνος ἡμῖν εἰσιν.

Δ. Οὐκ ἔχει τι ἡ τοῦ κυρίου προσευχὴ τεῖνον πρὸς τοῦτο;

Μ. Καὶ μάλα. εὐχόμενοι γὰρ τὸ τοῦ Θεοῦ ὄνομα ἁγιασθῆναι, εὐχόμεθα τὴν ἐνοῦσαν πᾶσι τοῖς αὐτοῦ ἔργοις δόξαν καταδήλον γίνεσθαι· καὶ οὕτως, εἴτε κολάζει, δίκαιον νομίζεσθαι· εἴτε συγγινώσκει, ἐλεήμονα· εἴτε ἃ ἐπηγγείλατο, ἐπιτελεῖ,

ἀληθινὸν καλεῖσθαι. καὶ ἑνὶ λόγῳ, πάντα πρὸς τὴν αὐτοῦ δόξαν ἀναφέρειν. τοῦτο δή ἐστι τὸ τὴν ἀρχὴν πάντων ἀγαθῶν δόξαν εἰς αὐτὸν ἀναφέρειν.

Δ. Τί δή ποτέ ἐστι τὸ πάντων τῶν μέχρι τοῦδε εἰρημένων κεφάλαιον;

Μ. Ὃ μαρτυρεῖ τε αὐτὴ ἡ ἀλήθεια, καὶ ἡμεῖς ἀρχόμενοι εἴπομεν, ὅτι δηλαδὴ αὕτη ἐστὶν ἡ αἰώνιος ζωή, τὸ γινώσκειν τὸν ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλεν Ἰησοῦν Χριστόν. λέγω δὲ γινώσκειν, ὅταν τὴν προσήκουσαν αὐτῷ τιμὴν προσάπτομεν, καὶ ἀποδεχώμεθα αὐτὸν ὡς διδάσκαλον καὶ δεσπότην, πατέρα τε καὶ σωτῆρα ἡμῶν ὄντα, καὶ διὰ τοῦτο ἑαυτοὺς περιστάνωμεν



τέκνα αὐτοῦ, δούλους τε, καὶ λαὸν τῇ ἐκείνου δόξῃ ἀφιερωμένον.

Δ. Τίνι δὲ τρόπῳ τοσούτων ἀγαθῶν δυναίμεθ' ἂν τυγχάνειν;

Μ. Πρὸς ταῦτα ἡμᾶς ἀγαγεῖν βουλόμενος, τὸν ἱερὸν αὐτοῦ λόγον κατέλιπεν ἡμῖν, ὥσπερ πύλην ὄντα, δι' ἧς εἰς τὴν οὐράνιον αὐτοῦ βασιλείαν εἰσερχόμεθα.

Δ. Ποῦ τὰ ἱερὰ ταῦτα λόγια ζητητέον;

Μ. Ἐν ταῖς ἁγίαις γραφαῖς. ταύταις γὰρ περιέχεται.

Δ. Πῶς δὲ τούτοις χρώμενοι, οἷοί τ' ἂν εἴημεν ἐξ αὐτῶν ὠφελεῖσθαι;

Μ. Ἐὰν οὕτως ἀποδεχώμεθα αὐτά,

ὡς πεπεισμένοι καὶ σαφῶς εἰδότες ἀλήθειαν εἶναι τὰ οὐρανόθεν προελθοῦσαν, αὐτοῖς τε ὑπακούωμεν κατὰ πάντα, καὶ ἐκ καρδίας αὐτὰ ἀγαπῶμεν· συνελόντι δ' εἰπεῖν, ἐὰν ταῖς ἡμετέραις ψυχαῖς ἐγκεχαραγμένα φορῶμεν, ἵνα σύμφωνον καὶ ἁρμόδιον αὐτοῖς ἄγωμεν βίον.

Δ. Ἆρά γε ταῦτα πάντα ἐφ' ἡμῖν ἐστιν;

Μ. Οὐ μὲν οὖν, οὐδ' ὅλως οὖν τούτων, ἀλλὰ πάντων ὁ Θεὸς διὰ τῆς τοῦ πνεύματος αὐτοῦ ἐπισπνοίας ταῦτα ἐν ἡμῖν ἐνεργεῖ.

Δ. Οὐκοῦν ἡμᾶς δεῖ σπουδαίως καὶ ἐπιμελῶς





μελᾶς τὰ ἐν τοῖς ἱεροῖς λογίοις διδάγματα ἀκοῦσαι, ἀναγνῶναί τε καὶ μελετᾶν;

Μ. Πάνυ γε. καὶ οὐ μόνον περὶ ταῦτα ἕκαστον ἡμῶν ἰδίᾳ σπουδάζειν προσήκει, ἀλλὰ δεῖ πρὸ πάντων φοιτᾶν παρὰ τοὺς αὐτὰ ἐξηγουμένους ἐν ταῖς πρὸς τὸν ὅμιλον τῶν πιστῶν ὁμιλίαις, καὶ ἐκεῖ τούτων ἀκούεσθαι.

Δ. Ἆρα οὖν κατὰ τὸν σὸν λόγον οὐκ ἀποχρῇ ἕκαστον οἴκοι ἀναγινώσκειν ταῦτα, ἀλλὰ δεῖ καὶ πάντας ὁμοῦ συνέρχεσθαι τῶν ταῦτα ἑρμηνευόντων ἀκουσομένους;

Μ. Πάνυ μὲν οὖν, ὅπη γε παρείκοι αὐτοῖς.

Δ. Διατί τοῦτο φής;

Μ. Ὅτι ὁ Χριστὸς οὕτω τὰ τῆς ἐκκλησίας διέταξε, καὶ ταῦτα οὐ δυοῖν ἢ τριῶν χάριν μόνον, ἀλλὰ κοινῇ πάντων· καὶ ἐδίδαξεν ἡμᾶς ὅτι οὐκ ἂν ἄλλως αὐτὴ οἰκοδομεῖσθαι, ἢ διασώζεσθαι δύναιτο. ἡμᾶς δὲ τοῖς ὑπ' αὐτοῦ διατεταγμένοις ἐμμένειν χρή, καὶ μὴ ἵεσθαι ὑπὲρ τὸν διδάσκαλον φρονεῖν.

Δ. Ἆρα οὖν ἀνάγκη ποιμένας τινὰς τῆς ἐκκλησίας προΐστασθαι;

Μ. Μάλιστα. καὶ δὴ καὶ αὐτῶν ἀκροᾶσθαι προσήκει, μετὰ ταπεινοφροσύνης τὴν τοῦ Χριστοῦ διδαχὴν ἀπὸ στόματος αὐτῶν ἐκδε-



ἐκδεχομένους. διὸ καὶ ὁ ὑπερορῶν αὐτῶν ἢ ἀκοῦσαι ἀπαξιῶν, ἴσω τὸν Χριστὸν ἀτιμάζων καὶ τῇ τῶν πιστῶν κοινωνίᾳ ἀποταττόμενος.

Δ. Ἀλλὰ γὰρ πότερον ἀπόχρη ὑπ' αὐτοῦ ἅπαξ πεπαιδεῦσθαι, ἢ συνεχῶς ὑπ' αὐτῶν δεῖ ἡμᾶς διδάσκεσθαι;

Μ. Οὐδὲν ὠφελεῖ τὸ ἄρξασθαι, ἐὰν μή τις ἐσαεὶ διατελῇ. καὶ γὰρ τοῦ Χριστοῦ μαθητὰς εἶναι ἡμᾶς διὰ τέλους προσήκει· αὐτὸς δὲ τοὺς ποιμένας τῆς ἐκκλησίας διδασκάλους ἀντὶ ἑαυτοῦ κατέστησεν.

## ΠΕΡΙ ΤΩΝ ΜΥΣΤΗΡΙΩΝ.

Ἆρ' οὐκ ἄλλῳ τινὶ τρόπῳ ἢ διὰ τῶν γραφῶν κοινωνοῦμεν αὐτοῦ;

Μ. τὰ μυστήρια μετὰ τοῦ λόγου κηρύγματος συνέζευξε.

Δ. τί ἐστι μυστήριον;

Μ. τὸ διὰ τῶν ἔξωθεν μαρτύριον τῆς τοῦ Θεοῦ πρὸς ἡμᾶς ἀγάπης, ὃ διὰ ὁρατοῦ σημείου τὰ πνευματικὰ παρίστησιν ἡμῖν, ἵνα αἱ τοῦ Θεοῦ ἐπαγγελίαι μᾶλλον ταῖς ἡμετέραις καρδίαις ἐπισφραγίζωνται, καὶ βεβαιοτέραν ἐλπίδα ἔχωμεν ἐπ' αὐταῖς.

Δ. Ἆρα τοῦτο τὸ ὁρατὸν σημεῖον τὰς ἡμετέρας ψυχὰς δύναται ἐπελπίζειν;

Οὐκ



Μ. Οὐκ ἀφ' ἑαυτοῦ τοῦτό γε, ἀλλὰ καθ' ὅσον ὑπὸ Θεοῦ τῷδε τῷ ἔργῳ προσετάχθη.

Δ. τούτου τοῦ ἔργου τοῦ ἁγίου πνεύματος ἰδίως προσήκοντος, πῶς σὺ τοῖς μυστηρίοις αὐτὸ προσάπτεις;

Μ. πολλῷ γε τοῦτο ἐκείνου διαφέρει. καὶ γὰρ τοῦ ἁγίου πνεύματος ἔργον ἴδιόν ἐστι τὰς ἡμετέρας καρδίας κινῆσαι καὶ φωτίσαι, ἔτι δὲ καὶ τὸ τὰς ἡμῶν ψυχὰς στερρὰς περὶ τὴν τῶν ἐπαγγελιῶν ἐλπίδα καταστῆσαι· διὸ καὶ ταῦτα ἐκείνῳ μόνῳ ἀνατεθῆναι χρή. οὐδὲν δὲ τοῦτο κωλύει χρῆσθαι τοῖς μυστηρίοις τὸν Θεὸν, ὡς δευτέροις ὀργάνοις, ᾗ ἂν αὐτῷ δοκῇ· ἅτε οὐδὲν διὰ

Aa

τούτων τῇ τοῦ πνεύματος δυνάμει ἀφαιροῦντα.

Δ. Σὺ οὖν λέγεις τὴν τῶν μυστηρίων ἐνέργειαν τοῖς ἔξωθεν σημείοις οὐκ ἐγκεκλεῖσθαι, ἀλλ' ἀπὸ τοῦ πνεύματος τοῦ Θεοῦ προέρχεσθαι.

Μ. Ἔγωγε· ἀλλ' ἔξεστι τῷ Θεῷ, ὅτε ἂν αὐτῷ δοκῇ, διὰ τούτων ὀργάνων τὴν ἰδίαν δύναμιν φανερὰν καταστῆσαι, οὐκ ἐλαττουμένης ὅμως τῆς τοῦ πνεύματος αὐτοῦ ἐνεργείας.

Δ. Τίνος δὲ ἕνεκα τοῦτο ποιεῖ;

Μ. Ἵνα τῇ ἀσθενείᾳ ἡμῶν βοηθῇ. εἰ μὲν γὰρ πνευματικοὶ ἦμεν, ὥσπερ οἱ ἄγγελοι, ἐδυνά-

ἐδυνάμεθα ἂν αὐτὸν καὶ τὰ χαρίσματα αὐτοῦ πνευματικῶς θεωρεῖν· νῦν δὲ ἐμπροσθουμένων ἡμῶν τῷ σώματι, ἀνάγκη αὐτῶν διά τινων τύπων καὶ οἱονεὶ κατόπτρων τὰ πνευματικὰ καὶ οὐράνια παρίστασθαι ἡμῖν. οὐ γὰρ ἂν ἄλλως οἷοί τε εἴημεν διανοίᾳ περιλαβεῖν αὐτά. ἔπειτα δὲ συμφέρει ἡμῖν, τῶν τοῦ Θεοῦ ἐπαγγελιῶν πεῖραν λαμβάνειν τὰς ἡμετέρας αἰσθήσεις πάσας, πρὸς μείζω βεβαίωσιν.

Δ. Ἐπειδὴ διὰ τούτων τῶν μυστηρίων τῇ ἀσθενείᾳ ἡμῶν βοηθεῖν ὁ Θεὸς ἠθέλησεν, οὐχὶ δίκαιον ὑπερηφανίαν καταγινώσκειν ὅσοι μηδὲν ἐᾶν τοὺς δεῖσθαι τούτων οἴονται;

Μ. Κομιδῆ γε. καὶ δὴ καὶ ὅσοι τούτοις ἀπαξιοῦσι χρῆσθαι, ὡς οὐκ ἀναγκαίοις οὖσι, πρῶτον μὲν ἀτιμάζουσι τὸν Χριστόν, εἶτα καὶ τὴν τοῦ αὐτοῦ χάριν ἀθετοῦσι, καὶ τὸ πνεῦμα σβεννύουσι.

Δ. Πῶς δὲ δύναται τὰ μυστήρια τὴν ἡμῶν ἐλπίδα βεβαιῶσαι, εἴγε τούτων οἵ τε κακοὶ καὶ οἱ ἀγαθοὶ ἀναμὶξ κοινωνοῦσι;

Μ. Καίτοι οἱ πονηροὶ τὴν διὰ τῶν μυστηρίων προσφερομένην αὐτοῖς χάριν τό γε καθ᾽ αὐτοὺς ἄχρηστον καθιστᾶσιν, οὐδὲν ἧττον τοιαύτη ἐνέργεια τοῖς μυστηρίοις ἀεὶ παραμένει.

Δ. Πῶς οὖν καὶ πότε τῆς τῶν μυστηρίων ἐνεργείας ἀπολαυόμεθα;



Μ. Ὅταν μετὰ πίστεως ἀποδεχώμεθα αὐτά, Χριστὸν μόνον ἐν τούτοις καὶ τὴν ἐκείνου χάριν ζητοῦντες.

Δ. Διατί ζητητέον ἐν ἐκείνοις τὸν Χριστὸν λέγεις;

Μ. Ἵνα δηλῶ ὅτι οὐ χρὴ ἡμᾶς τῷ ὁρατῷ σημείῳ προσπεπτωκέναι, ὡς σωτηρίαν φέροντι ἡμῖν, οὐδὲ νομίζειν τινὰ δύναμιν ἐκείνῳ προσπεφυκέναι· ἀλλὰ τοὐναντίον οἴεσθαι ὅτι τὸ σημεῖον ὑφηγεῖται ἡμῖν τὴν πρὸς τὸν Χριστὸν ὁδόν, ἐν αὐτῷ σωτηρίαν καὶ πᾶν ἀγαθὸν ζητήσουσι.

Δ. Δέον ἡμᾶς ταῦτα τὰ μυστήρια μετὰ πίστεως προσδέχεσθαι, τίνα λό-

γον ἔχει τὸ εἰπεῖν ὅτι πρὸς βεβαίωσιν
τῆς πίστεως ἡμῖν δίδοται, ἤτοι ἵνα στερροτέ-
ρους ἡμᾶς περὶ τὴν τῶν ἐπαγγελιῶν ἐλπί-
δα ἀποδείξῃ;

Μ. Οὐκ ἀρκεῖ τὸ τὴν πίστιν ἐν ἡμῖν ἅ-
παξ ἀρχὴν εἰληφέναι, ἀλλ' αὐτὴν τρέ-
φεσθαι δεῖ καὶ αὐξάνεσθαι ἐν ἡμῖν. πρὸς
τὴν διατροφὴν οὖν αὐτῆς καὶ αὔξησιν ὁ
Θεὸς τὰ μυστήρια διέταξεν ἡμῖν. ὃ δηλοῖ
καὶ ὁ Παῦλος ἐν οἷς λέγει ὅτι δι' αὐτῶν αἱ
τοῦ Θεοῦ ὑποσχέσεις ταῖς ἡμετέραις καρ-
δίαις ἐπισφραγίζονται.

Δ. Ἆρ' οὐχὶ τοῦτο τὴν ἀπιστίαν ἡμῶν
κατηγορεῖ, τὸ μὴ παντελῶς πιστεύειν καὶ
πεποι-



πεποιθέναι ταῖς τοῦ Θεοῦ ἐπαγγελίαις,
ἐὰν μὴ ἵνα πρὸς τὴν ἐπικύρωσιν αὐτῶν
προσλάβωμεν;

Μ. Τοῦτο μὲν τὴν τῆς πίστεως ἀσθένειαν
παρίστησι, ἣν νόσον νοσεῖ μὲν καὶ τὰ τοῦ Θεοῦ
τέκνα, οὐδὲν δὲ ἧττον πιστοὶ διατελοῦσιν ὄν-
τες, ἀλλ' οὐ τελείως. ἕως γὰρ τούτῳ τῷ
κόσμῳ ἐνδιατρίβομεν, ἀεί τινα λείψανα
ἀπιστίας τῇ ἡμετέρᾳ σαρκὶ ἐναπομένει.
τοιγοῦν ἀεὶ ἐπίδοσιν δεῖ τὴν ἡμετέραν
πίστιν λαμβάνειν καθ' ἑκάστην.

Δ. Πόσα μυστήρια ἡ τῶν Χριστιανῶν ἐκ-
κλησία ἔχει;

Μ. Δύο μόνον, πᾶσι τοῖς πιστοῖς κοινὰ
ὄντα, κατὰ τὴν τοῦ Ἰησοῦ Χριστοῦ διάταξιν.

Δ. Τὰ ποῖα;

Μ. Τὸ βάπτισμα καὶ τὸ κυριακὸν δεῖπνον· ὅπερ εὐχαριστίαν τοῖς ἄλλοις ὀνομάζειν φίλον.

Δ. Τί δὲ ὅμοιον ἢ τί διάφορον ἀλλήλοις ἔχει;

Μ. Διὰ τοῦ βαπτισμοῦ οἱονεὶ εἰσερχόμεθα εἰς τὴν τοῦ Θεοῦ ἐκκλησίαν. μαρτυρεῖ γὰρ ἡμῖν ὅτι ὁ Θεὸς ἡμᾶς, τοὺς πρότερον αὐτοῦ ἀπηλλοτριωμένους, μετὰ τῶν οἰκείων τάξιν ἀξιοῖ. τὸ δὲ κυριακὸν δεῖπνον τεκμήριον ἡμῖν ἐστι τοῦ τὸν Θεὸν ταῖς ἡμετέραις ψυχαῖς τὰ πρὸς τροφὴν παρέχειν βούλεσθαι, ὥσπερ οἱ ἀγαθοὶ οἰ-

κοδε-



κοδεσπόται τῆς τῶν οἰκείων διατροφῆς ἐπιμελοῦνται.

Δ. Ἵνα δὲ σαφέστερα ἡμῖν τὰ ἀμφότερα γένηται, ἑκάτερον ἰδίᾳ λόγῳ διεξίωμεν. καὶ πρῶτον μὲν εἰπὲ τί ὁ βαπτισμὸς ἡμῖν παραδηλοῖ.

Μ. Δύο ἡμῖν παρίστησι, τήν τε ἄφεσιν τῶν ἁμαρτιῶν δηλονότι, καὶ τὴν πνευματικὴν ἀναγέννησιν.

Δ. Τί δὲ ἀνάλογον τούτοις ἔχει τὸ ὕδωρ ὥστε σύμβολον τούτων εἶναι δύνασθαι;

Μ. Ὅτι ἡ τῶν ἁμαρτιῶν ἄφεσις ἔοικέ πως λουτρῷ, δι' οὗ τὰ ἐν ταῖς ἡμετέραις ψυχαῖς μολύσματα ἀπορρύπτονται,

ὥσπερ τὸν τοῦ σώματος ῥύπον διʼ ὕδατος ἀποψώμεθα.

Δ. τὴν δὲ ἀναγέννησιν ἡμῶν πῶς τὸ ὕδωρ αἰνίττεται;

Μ. Ἐπειδὴ ἡ ἀρχὴ μὲν αὐτῆς ἐστι τὸ τὴν ἡμετέραν φύσιν νεκρωθῆναι, τέλος δὲ, τὸ καινὰς κτίσεις ἡμᾶς γίνεσθαι, τὸ ἐπιχεόμενον τῇ ἡμετέρᾳ κεφαλῇ ὕδωρ, σημεῖον θανάτου ἐστίν, ἀλλʼ ἅμα καὶ τὴν ἡμῶν ἀναβίωσιν παραδηλοῖ, παρόσον οὐ κατακλυζόμεθα τῷ ὕδατι, ἀλλʼ εὐθὺς ἀναδύομεν αὐτοῦ.

Δ. Οὐκοῦν οἴει τοῦτο τὸ ὕδωρ τῆς ἡμετέρας ψυχῆς καθαρμὸν εἶναι.

Οὐ μὲν-



Μ. Οὐ μὲν οὖν· τοῦτο γὰρ ἴδιον ἔργον ἐστὶ τοῦ αἵματος τοῦ Χριστοῦ, ὅπερ ἐξεχύθη ἐπὶ τῷ πάσας τὰς κηλῖδας ἡμῶν ἀπορρύψαι, καὶ καθαροὺς τῷ Θεῷ παραστῆσαι. ὃ γίνεται ἐν ἡμῖν ὅτε τὸ ἅγιον πνεῦμα τούτῳ τῷ αἵματι τὰς ἡμετέρας συνειδήσεις ῥαντίζει. ἐπισφραγίζεται δὲ τοῦτο ἡμῖν διὰ τοῦ κυριακοῦ δείπνου.

Δ. Πότερον δὲ αὐτὸ τὸ ὕδωρ οὐδὲν ἄλλο οἴει εἶναι ἢ σημεῖον καθαρμοῦ;

Μ. Τύπος μὲν ἐστιν, ἀλλὰ παρεζευγμένην ἔχων τὴν ἀλήθειαν. οὐ γὰρ μάταιαί εἰσιν αἱ ὑποσχέσεις τοῦ Θεοῦ. Διὸ καὶ ἡμᾶς πληροφορηθῆναι δεῖ ὅτι ἡ τῶν ἁμαρ-

τιῶν ἄφεσις διὰ τοῦ βαπτισμοῦ προσ-
φέρεται ἡμῖν, καὶ ἡμεῖς αὐτὴν ἀπολαμ-
βάνομεν.

Δ. Ἆρά γε ἐν πᾶσιν ἀδιακρίτως ἡ
χάρις αὕτη ἐπιτελεῖται;

Μ. Οὐ δῆτα· πολλοὶ γὰρ διὰ τῆς ἰδίας
κακίας ἑαυτοῖς κενὴν καὶ ἀνόνητον αὐτὴν
καθιστᾶσιν. οὐδὲν δὲ ἧττον τὴν αὐτὴν δύ-
ναμιν τὸ μυστήριον ἔχον ἀεὶ διατελεῖ, κἂν
μόνοι τῆς ἐνεργείας αὐτοῦ ἀπολαύωσιν
οἱ πιστοί.

Δ. Ἡ δὲ ἀναγέννησις ἡμῶν πόθεν;

Μ. Ἀπὸ τοῦ θανάτου καὶ τῆς ἀναστάσεως
τοῦ Χριστοῦ. τοσαύτη γὰρ τῷ θανάτῳ αὐ-
τοῦ δύναμις ἔνεστιν, ὥστε δι᾽ αὐτοῦ τὸν



παλαιὸν ἡμῶν ἄνθρωπον σταυροῦσθαι, καὶ
τὴν κακὴν ἡμῶν φύσιν οἱονεὶ θάπτεσθαι, ἵ-
να μηκέτι ἡμῶν ἐπικρατῇ· τὸ δὲ ἡμᾶς
ἀνακτίζεσθαι καὶ εἰς καινόν τινα βίον ἀνα-
νεοῦσθαι, ὅπως τὴν τοῦ Θεοῦ δικαιοσύ-
νην ποιῶμεν, τοῦτο δὲ τῇ ἀναστάσει τοῦ
Χριστοῦ ἀνατιθέναι.

Δ. Πῶς δὲ ταύτης τῆς χάριτος ἐν τῷ
βαπτισμῷ τυγχάνομεν;

Μ. Ὅτι διὰ τούτου ἐνδυόμεθα τὸν Χρι-
στὸν, καὶ τὸ αὐτοῦ πνεῦμα ἀπολαμβάνο-
μεν, ἐάν γε μὴ τῶν ἐκεῖ ἐπαγγελιῶν ἑαυ-
τοὺς ἀναξίους καθιστῶμεν.

Δ. Τί δὲ ποιοῦντες ἡμεῖς, νομίμως τῷ

βαπτίσματι χρησόμεθα;

Μ. Πίστιν ἔχοντες καὶ μετανοοῦντες· τοῦτ᾽ ἔστιν, ἐὰν πληροφορηθῶμεν ὅτι διὰ τοῦ αἵματος τοῦ Χριστοῦ κεκαθάρμεθα. εἶτα δὲ καὶ ἐὰν αἰσθανώμεθα ἐν ἑαυτοῖς, καὶ δὴ καὶ τοῖς ἄλλοις διὰ τῶν ἡμετέρων ἔργων φανερὸν ποιώμεθα ὅτι τὸ πνεῦμα αὐτοῦ ἐν ἡμῖν ἐνοικεῖ, ἵνα τῶν ἐπιθυμιῶν τῶν ἡμετέρων νενεκρωμένων, τὰ ἀρέσκοντα αὐτῷ ποιῶμεν.

Δ. Πῶς οὖν τὰ νεογνὰ βρέφη βαπτίζειν ἀξιοῦμεν, εἰ ταῦτα πρὸς τὸ βάπτισμά ἐστιν ἀναγκαῖα;

Μ. Οὐδεμία ἀνάγκη ἐστὶ τοῖς βαπτιζο-

μένοις



μένοις πίστιν καὶ μετάνοιαν προσεῖναι, ἀλλὰ μόνον ἐνυπάρχειν δεῖ τοῖς δεκτικοῖς οὖσι τούτων. ἀγαπητὸν δὲ ἐὰν τὰ βρέφη, ὅταν εἰς προσήκουσαν ἡλικίαν ἔλθῃ, τὸν καρπὸν τοῦ βαπτίσματος αὐτῶν ἐκδιδῷ καὶ ἐμφανίζῃ.

Δ. Τί δέ σοι τεκμήριον τοῦ λόγου;

Μ. Ὅτι καὶ ἡ περιτομὴ σημεῖον ἦν μετανοίας, ὥσπερ Μωϋσῆς καὶ οἱ προφῆται δηλοῦσι, καὶ δὴ καὶ πίστεως σημεῖον, κατὰ τὸν Παῦλον· ὅμως δὲ οὐκ ἠξίου ὁ Θεὸς ἀπείργεσθαι ταύτης τὰ νηπία.

Δ. Ἀλλὰ γὰρ πότερον διὰ τὴν αὐτὴν αἰτίαν δεῖ νῦν τὸ βάπτισμα προσφέρειν

αὐτοῖς

αὐτοῖς, δι' ἣν πάλαι ἡ περιτομὴ προσε-
φέρετο;

Μ. Πάνυ μὲν οὖν. αἱ γὰρ παλαιαὶ τοῦ Θεοῦ πρὸς τὸν ἰσραηλιτικὸν λαὸν ἐπαγγελίαι προσήκουσι νῦν πᾶσι τοῖς καθ' ὅλην τὴν οἰκουμένην.

Μ. Ἆρά γε ἐκ τούτων φανερὸν τὸ ἡμᾶς τῷ σημείῳ χρῆσθαι προσήκειν.

Μ. Παντί που δῆλον τῷ γε ἀκριβῶς ταῦτα κατανενοηκότι γενήσεται. οὐ γὰρ ὁ κύριος ἐλάττονι μέτρῳ ἢ ἀφανέστερον μετέδωκεν ἡμῖν τῆς δοθείσης πάλαι τῷ Ἰσραὴλ χάριτος· μᾶλλον δὲ καὶ μείζονι μέτρῳ καὶ ἐναργέστερον ἡμᾶς ἠξίωσεν αὐτῆς μεταλαβεῖν. Πότε-



Δ. Πότερον νομίζεις ὅτι ἐὰν τὰ βρέφη τοῦ βαπτίσματος ἀποκλείωμεν, ἡ τοῦ Θεοῦ χάρις ἐλαττωθῆναι δόξει διὰ τῆς τοῦ Χριστοῦ ἀφίξεως;

Μ. Ἔγωγε. καὶ γὰρ οὕτως ἂν στεροῖτο τὰ ἡμέτερα τέκνα τοῦ σφραγίσματος τῆς ἀγαθότητος καὶ τοῦ ἐλέου τοῦ Θεοῦ, ὅπερ οἱ τῶν παλαιῶν ἔλαβον παῖδες, καὶ ἣ μεγάλην ἡμῖν παραμυθίαν φέρει, ἔτι δὲ καὶ ἐμπεδοῖ ἡμῖν καὶ ἐπικυροῖ τὴν ἐξ ἀρχῆς γενομένην ἐπαγγελίαν.

Δ. Τοιοῦτον ἐστὶν ὃ λέγεις· ἐπειδὴ τὸ πάλαι σωτῆρα ἑαυτὸν τῶν νηπίων παραδηλοῖ ὁ Θεός, τὴν τῆς σωτηρίας ὑπο-

πόχεσιν τοῖς αὐτῶν σώμασιν ἐκέλευσεν
ἐπισφραγισθῆναι διὰ σημείου ὁρατοῦ
ὄντος, εἰκός ἐστιν ἀπὸ τῆς τοῦ Χριστοῦ ἀ-
φίξεως οὐκ ἐλάττονα σφραγῖδα λαβεῖν,
ἄλλως τε καὶ ἐπεὶ ἡ αὐτὴ ἐπαγγελία πα-
ραμένει καὶ νῦν, καὶ ταῦτα ἐναργεστέρα τε καὶ
ἔργῳ μᾶλλον βεβαιωθεῖσα ἢ πρότερον.

Μ. Τοιοῦτον ἄρα· καὶ πάλιν τούτου ὑ-
πὸ πάντων ὁμολογουμένου, ὅτι τὰ βρέ-
φη τῆς τοῦ βαπτίσματος δυνάμεως καὶ
ἐνεργείας μεταλαμβάνει, ὁ παρωθού-
μενος αὐτοὺς τῆς τοῦ σημείου χρήσεως,
ὅπερ ἔλαττόν ἐστιν, οὐκ ἂν ἔξαρνος εἶναι
δύναιτο μὴ ἀδικεῖν αὐτούς.

Τίνος



Δ. Τίνος οὖν χάριν βαπτιστέα τὰ
βρέφη;

Μ. Ἵνα ὁ βαπτισμὸς μαρτύριον αὐτοῖς
παρέχῃ καὶ πιστώσηται ὅτι τῆς τοῦ Θεοῦ
εὐλογίας κληρονόμα ἐστίν, ἣν τοῖς τῶν
πιστῶν ἐπιγόνοις ἐπηγγείλατο δώσειν.
ὅπως ὅταν τῆς παιδαριώδους ἡλικίας
ὑπεξέλθῃ, τὸ τοῦ βαπτίσματος αὐτῶν ἀλή-
θειαν γνόντα, καρποὺς τούτου ἀξίους φύ-
ωσιν.

Δ. Ἄγε δή, λέγωμεν νῦν περὶ τοῦ κυ-
ριακοῦ δείπνου. εἰπὲ δὲ πρῶτον τί αὐτὸ
αἰνίττεται.

Μ. Ὁ κύριος ἡμῶν Ἰησοῦς αὐτὸ διετά-

ξατο, βεβαιῶσαι τε καὶ ἀσφαλίσασθαι ἡμῖν βουλόμενος τὸ διὰ τῆς κοινωνίας τοῦ σώματος καὶ αἵματος αὐτοῦ, τὰς ἡμετέρας ψυχὰς ἐπ' ἐλπίδι τῆς αἰωνίου ζωῆς τρέφεσθαι.

Δ. Διατί αὐτὸς διὰ τοῦ ἄρτου τὸ ἑαυτοῦ σῶμα, διὰ δὲ τοῦ ὕδατος τὸ ἴδιον αἷμα παρίστησιν ἡμῖν;

Μ. Ἵνα μάθωμεν ὅτι καθάπερ τῷ ἄρτῳ ἔνεστι δύναμις θρεπτικὴ τῶν ἡμετέρων σωμάτων ἐν τῷ νῦν βίῳ· οὕτω καὶ τὸ αὐτοῦ σῶμα δύναμιν ἔχει τρέφουσαν καὶ ζωοποιοῦσαν πνευματικῶς τὰς ἡμετέρας ψυχάς. ὡσαύτως δὲ καὶ ὥσπερ ὁ

οἶνος



οἶνος τὸ σῶμα ῥωμαλέον καθίστησι, καὶ τοὺς πίνοντας εὐφραίνει· τὸν αὐτὸν τρόπον τὸ αὐτοῦ αἷμα τὰς ἡμετέρας καρδίας ἐπιρρώννυσί τε καὶ εὐφροσύνης ἐμπίπλησι.

Δ. Ἆρα οὖν λέγεις ἡμᾶς ἀληθῶς τοῦ τε σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ κοινωνεῖν;

Μ. Ἔγωγε. ἐπειδὴ γὰρ πεπείσμεθα σωθήσεσθαι διὰ τῆς αὐτοῦ πρὸς τὸν πατέρα ὑπακοῆς, καθόσον αὐτὴ προστίθεται ἡμῖν, ὡς ἡμετέρα οὖσα, ἀνάγκη ἡμῖν αὐτὸν κεκτῆσθαι. οὐ γὰρ ἂν τῶν ἀγαθῶν αὐτοῦ μεταλαβεῖν οἷοί τ' εἴημεν, εἰ μὴ πρότερον ἐκεῖνος ἑαυτὸν ἡμῖν χαρίζοιτο.

Δ. Ἀλλ' οὐχὶ δέδωκεν ἡμῖν ἑαυτὸν ὅτε θάνατον ἑκούσιον ὑπέμεινεν, ἵνα ἡμᾶς καταλλάξῃ τῷ πατρὶ, καὶ τῆς κατακρίσεως ἀπαλλάξῃ;

Μ. Μάλιστα. ἀλλὰ δεῖ προσέτι ἡμᾶς αὐτὸν δέχεσθαι, ἵνα τὴν ἐκ τοῦ θανάτου αὐτοῦ δύναμιν καὶ ὠφέλειαν ἀπολάβωμεν.

Δ. Οὐκοῦν μετὰ πίστεως αὐτὸν δέξασθαι χρή;

Μ. Πάνυ γε. οὐ μόνον δὲ πιστεύειν χρὴ ὅτι ἔθανε καὶ ἀνέστη, ὅπως ἡμᾶς τοῦ αἰωνίου θανάτου ἀπολυτρώσηται, καὶ ζωὴν ἡμῖν περιποιήσηται· ἀλλὰ καὶ ὅτι ἐνοικεῖ ἡμῖν, καὶ τοιαύτη ἐστὶν ἡ συνάφεια καὶ ἕνωσις

αὐτοῦ



αὐτοῦ πρὸς ἡμᾶς, οἵα ἡ τῆς κεφαλῆς πρὸς τὰ λοιπὰ μέλη· ἵνα διὰ ταύτην τὴν συνάφειαν, πάντων τῶν χαρισμάτων αὐτοῦ μετάσχωμεν.

Δ. Πότερον δὲ διὰ τοῦ κυριακοῦ δείπνου μόνον, ταύτης τῆς κοινωνίας ἀπολαύομεν;

Μ. Οὐ διὰ τούτου μόνου· καὶ γὰρ καὶ διὰ τοῦ κηρύγματος τοῦ εὐαγγελίου κοινωνία ἡμῖν τοῦ χριστοῦ ἐστι, κατὰ τὸν Παῦλον· καθόσον ἀκούομεν ἐκεῖ λέγοντος τοῦ χριστοῦ, ὅτι ὀστᾶ ἐκ τῶν αὐτοῦ ὀστῶν ὑπάρχομεν, καὶ σὰρξ ἐκ τῆς σαρκός· καὶ ὅτι ἐστὶν ὁ ἄρτος τῆς ζωῆς ὁ οὐρανόθεν κατιὼν πρὸς τὸ τρέφειν τὰς ἡμετέρας ψυχάς. ἔπειτα

ᾖ, καὶ οὐκ ἔτ' ἐσμεν ἐν αὐτῷ, καθὼς ἔνεστιν ἐν τῷ πατρί. καὶ ἄλλα τούτοις ὅμοια.

Δ. Τί ἐστιν ἄλλο τούτου τοῦ μυστηρίου ἀπολαυόμεθα;

Μ. Τοῦτο, ὅτι διὰ τούτου ἡ κοινωνία αὐτῇ ἡμῖν βεβαιοῦται καὶ οἱονεὶ ἐπισφραγίζεται. καὶ γὰρ καίπερ τοῦ Χριστοῦ κοινωνοῦμεν καὶ διὰ τοῦ βαπτίσματος καὶ διὰ τοῦ εὐαγγελίου, ὅμως οὐκ αὐτὴν ἀπολαμβάνομεν ὁλοκλήρως, ἀλλ' ἐκ μέρους μόνον.

Δ. Εἰπὲ οὖν ἐν κεφαλαίῳ τί ἐστι τοῦ ἄρτου σύμβολον παραδηλοῖ.

Μ. Ὅτι τὸ τοῦ κυρίου ἡμῶν Ἰησοῦ σῶμα ὥσπερ ἐφάπαξ θυσία προσηνέχθη ἐφ' ᾧ ἡμᾶς



ἡμᾶς καταλλάξαι τῷ πατρί, δίδοται νῦν ἡμῖν, ἵνα βεβαιωθῇ ὡς αὕτη ἡ διαλλαγὴ ἡμῖν προσήκουσά ἐστι.

Δ. Τί ἐστι τὸ τοῦ οἴνου;

Μ. Ὅτι ὥσπερ ὁ Χριστὸς εἰσάπαξ ἐξέχεε τὸ ἴδιον αἷμα λύτρον ἀντὶ ἡμῶν, οὕτω καὶ νῦν πιεῖν ἡμῖν δίδωσιν αὐτό, ὅπως ἀσφαλισθῇ ἡ ἀπ' αὐτοῦ γινομένη ἡμῖν ὠφέλεια.

Δ. Τοιγαροῦν κατὰ τὸν σὸν λόγον, τὸ κυριακὸν δεῖπνον πρὸς τὸν τοῦ κυρίου θάνατον ἡμᾶς ἀναπέμπει, ἵνα τῆς ἐκείνου δυνάμεως κοινωνῶμεν.

Μ. Πάνυ μὲν οὖν. τότε γὰρ ἡ μόνη καὶ

διηνεκὴς θυσία ὑπὲρ τῆς ἡμετέρας σωτηρίας προσηνέχθη. λοιπὸν ἐστὶ μόνον ἡμᾶς τῆς ἐκεῖθεν ὠφελείας ἀπολαύειν.

Δ. Οὐκοῦν τὸ κυριακὸν δεῖπνον διατέτακται ἐφ᾽ ᾧ προσφέρειν τὸ τοῦ χριστοῦ σῶμα τῷ πατρὶ αὐτοῦ.

Μ. Οὐ μὲν οὖν. μόνος γὰρ ὁ χριστὸς ταύτης τῆς τιμῆς ἀξιοῦται, ἅτε δὴ ἱερεὺς ὢν εἰς τὸν αἰῶνα. ἔπειτα δὲ, λέγων, λάβετε, φάγετε, οὐ παραγγέλλει ἡμῖν τὸ αὐτοῦ σῶμα εἰς προσφορὰν δοῦναι, μόνον δὲ ἐσθίειν αὐτό.

Δ. τίνος δὲ χάριν δύο σύμβολα ἡμῖν ἐδόθη;





Μ. Διὰ τούτων τῆς τοῦ ἡμετέρου νοὸς ἀσθενείας ὁ κύριος δῆλός ἐστι προνοησάμενος. καὶ γὰρ δι᾽ αὐτῶν ἡμῖν φανερὸν ποιῆσαι ἠθέλησεν ὅτι οὐ μόνον ταῖς ἡμετέραις ψυχαῖς βρῶσις τυγχάνει ὤν, ἀλλὰ καὶ πόσις· ἵνα ἐν αὐτῷ πάντα τὰ πρὸς σωτηρίαν ἀρκοῦντα ζητῶμεν, ἀλλαχοῦ δὲ μή.

Δ. Ἆρά γε πάντας ἀδιακρίτως τῷ δευτέρῳ συμβόλῳ, ἤγουν τῷ τῆς πόσεως χρῆσθαι προσήκει;

Μ. καὶ μάλα γε, κατὰ τὴν τοῦ χριστοῦ διάταξιν, παρ᾽ ἣν κατατολμᾶν, τινὸς οὐ θέμις.

Δ. Πότερον δὲ τὸ κυριακὸν δεῖπνον τὰ εἰρημένα ἀγαθὰ μόνον ἡμῖν παραδηλοῖ, ἢ καὶ ὄντως αὐτὰ παρέχει;

Μ. Ἐπειδὴ ὁ Ἰησοῦς Χριστὸς ἀλήθειά ἐστιν, εὖ εἰδέναι χρὴ ὅτι ἃς ὑποσχέσεις ἐν τῷ δείπνῳ ποιεῖται, ἐν αὐτῷ ἐπιτελοῦνται, καὶ ἃ τυπικῶς ἐμφαίνεται, ἐκεῖ κατ᾽ ἀλήθειαν ὑπάρχει. Διὸ καὶ φημὶ ὅτι καθὼς ἐπαγγέλλεται καὶ διὰ σημείων δείκνυσιν, οὕτως ἡμῖν ὄντως τῆς ἰδίας οὐσίας μεταδίδωσιν, ἵνα εἰς ἓν καὶ τὸν αὐτὸν βίον μεθ᾽ ἑαυτοῦ ἑνώσῃ.

Δ. Πῶς δὲ τοῦτο δυνατὸν, τοῦ σώματος τοῦ Χριστοῦ ἐν οὐρανῷ ὄντος, ἡμῶν δὲ τῇ γῇ ἐπιδημούντων;



Μ. Τοῦτο διὰ τῆς ἀκαταλήπτου τοῦ πνεύματος αὐτοῦ δυνάμεως ἀπεργάζεται, ἣ ῥαδίως καὶ τὰ μακρὰν ἀλλήλων διεστῶτα συνάπτει.

Δ. Οὐκοῦν ἐννοεῖς τὸ μὲν σῶμα τῷ ἄρτῳ ἐγκεκλεῖσθαι, τὸ δὲ αἷμα τῷ ποτηρίῳ.

Μ. Οὐ γάρ. μᾶλλον δὲ πάντως ἡγοῦμαι δεῖν ἐὰν βουλώμεθα τῆς τοῦ μυστηρίου ἀληθείας τυγχάνειν, ἄνω βλέπειν καὶ τὰς καρδίας εἰς οὐρανὸν αἴρειν, ὅπου ἐστὶν ὁ Χριστὸς ἐν τῇ τοῦ πατρὸς δόξῃ, καὶ ὅθεν προσδοκῶμεν ἥξειν αὐτὸν κριτὴν καὶ λυτρωτήν. Διὸ καὶ εἴ τις αὐτὸν ἐν τοῖς

φθαρτοῖς στοιχείοις ζητεῖ, οὗτος δῆλός ἐστι πλανώμενος.

Δ. Ἵνα οὖν συγκεφαλαιωσώμεθα τὰ ῥηθέντα, δύο ἔνεστι τούτῳ τῷ μυστηρίῳ, ἅμα μὲν ἄρτος καὶ οἶνος, ἃ ὁρῶμεν καὶ ψηλαφῶμεν, καὶ ὧν γευόμεθα· ἅμα δὲ Χριστὸς, ᾧ αἱ ἡμέτεραι ψυχαὶ τρέφονται.

Μ. Ἀληθῆ λέγεις. ἀλλὰ καὶ τοῦτο δεῖ νοεῖν, ὅτι ἐντεῦθεν ἐνέχυρον τῆς τῶν ἡμετέρων σωμάτων ἀναστάσεως λαμβάνομεν, καθόσον καὶ αὐτὰ τοῦ συμβόλου τῆς ζωῆς μετέχει.

Δ. Πῶς δὲ δυναίμεθ' ἂν πρεπόντως τούτῳ τῷ μυστηρίῳ χρῆσθαι.

Τῷ



Μ. Τῷ Παύλῳ πειθόμενοι, κελεύοντι τὸν ἄνθρωπον ἑαυτὸν δοκιμάζειν πρὶν προσελθεῖν τούτῳ.

Δ. Ἐν τίνι δὲ ἑαυτὸν δοκιμάσει;

Μ. Ἐκ τούτου, ἵνα γνῷ πότερον ἀληθὲς μέλος τοῦ Χριστοῦ ἐστι.

Δ. Τίσι δὲ τούτου τεκμηρίοις γνώσεται;

Μ. Ἐὰν ἀληθινὴν πίστιν ἔχῃ καὶ μετάνοιαν, ἐὰν τοὺς πέλας ἐκ καρδίας ἀγαπᾷ, μηδὲ ὑπούλως πρός τινα ἔχῃ.

Δ. Ἀλλὰ γὰρ πότερον ἀνάγκη τελείαν πίστιν καὶ ἀγάπην ἔχειν;

Μ. Εἰλικρινῆ μὲν καὶ ἀνυπόκριτον ἔχειν δεῖ ἑκατέραν· τὸ δὲ τελείαν ἔχειν, τῶν ἀδυνάτων, ἀνθρώπῳ γε ὄντι. καὶ οὐ-

δὲν ἂν ἦν ὄφελος ἡμῖν τούτου τοῦ μυστηρίου, εἰ μόνοις τοῖς πάντη πάντως τελείοις οὖσι μεταλαβεῖν αὐτοῦ ἐξῆν.

Δ. Οὐκοῦν ἀπελαυνόμεθα αὐτοῦ, διὰ τὸ μὴ τέλειοι εἶναι.

Μ. Πᾶν μὲν οὖν τοὐναντίον, εἰ τέλειοι ἦμεν, οὐκ ἂν αὐτοῦ χρείαν εἴχομεν. τῇ γὰρ ἡμετέρᾳ ἀσθενείᾳ βοήθημά ἐστιν.

Δ. Ἀλλὰ γὰρ οὐχὶ καὶ πρὸς ἄλλο τι ταῦτα τὰ δύο μυστήρια χρήσιμα ἡμῖν;

Μ. Πάνυ μὲν οὖν. καὶ γὰρ [illegible] γνωρίσματά ἐστι τῆς ἡμῶν προαιρέσεως. τουτέστιν ὅτι δι' αὐτῶν πᾶσι φανερὸν ποιούμεθα ὡς τοῦ θεοῦ λαός ἐσμεν, ὅτι τὸν κατὰ χριστὸν εἰλό-



μεθα βίον.

Δ. Τί οὖν ἐροῦμεν περὶ τοῦ ὅς ἂν τούτοις χρῆσθαι ἀπαξιώσει;

Μ. Οὐκ ἂν οὗτος τοῖς χριστιανοῖς ἐγκαταλεκτέος εἴη. ὁ γὰρ τοιοῦτος ὤν, δῆλός ἐστι τῆς τοῦ χριστιανοῦ προσηγορίας ἀπαξιῶν ἑαυτόν, καί πως καὶ τοῦ χριστοῦ ἀποστατούμενος.

Δ. Μῶν ἀρκεῖ εἰσάπαξ ἀμφοτέροις χρῆσθαι;

Μ. Τὸ μὲν βάπτισμα δὶς λαβεῖν οὐ θέμις· περὶ δὲ τοῦ κυριακοῦ δείπνου ἕτερος λόγος.

Δ. Τίνι οὖν ἐξ ἀλλήλων διαφέρει

Μ. Ὅτι διὰ μὲν τοῦ βαπτισμοῦ εἰσοικίζει ἡμᾶς ὁ Θεὸς εἰς τὴν ἐκκλησίαν αὐτοῦ. εἰσοικισθεῖσι δὲ διὰ τούτου, δίδωσι τὸ δεῖπνον, πιστοῦ μάρτυρος ὅτι πάντα χρόνον τρέφειν ἡμᾶς ἀξιοῖ.

Δ. Τίνος ἔργον ἐστὶ τὸ βαπτίζειν καὶ τὸ παρέχειν τὸ κυριακὸν δεῖπνον;

Μ. Δῆλον ὅτι ἐκείνου ὃς ἂν ἐπιτετραμμένος ᾖ τὸ ἔργον τοῦ δημοσίᾳ ἐν τῇ ἐκκλησίᾳ διδάσκειν. ταῦτα γὰρ ἀλλήλων ἔχεται, τό, περὶ τῶν ἱερῶν λογίων ὑποφήτην εἶναι, καὶ τὸ τὰ μυστήρια ἑκάστῳ διανέμειν.

Δ. Ἆρ' οὖν σαφές τι τεκμήριον τοῦ λό-

γου



γου ἔχεις;

Μ. Πάνυ μὲν οὖν. οἱ γὰρ ἀπόστολοι μόνοι ἐκ πάντων τὸ τοῦ βαπτίζειν ἔργον ἐνεχειρίσθησαν ὑπὸ τοῦ Χριστοῦ, ὥσπερ καὶ τὸ τοῦ κηρύξαι τὸ εὐαγγέλιον. κελεύει δὲ, ὅταν τὸ τοῦ δείπνου μυστήριον τελεῖν βουλώμεθα, ἑαυτοὺς πρὸς τὸ παράδειγμα αὐτοῦ ῥυθμίζειν. οἱ γοῦν εὐαγγελισταὶ ἱστοροῦσιν, αὐτὸν ὡς δημόσιον διάκονον ὄντα, τοῖς ἄλλοις μεταδοῦναι.

Δ. Πότερον δὲ καὶ τοὺς ποιμένας, τοὺς τὴν τῶν μυστηρίων διακονίαν πεπιστευμένους πᾶσιν ἀδιακρίτως μεταδοῦναι τούτων;

Μ. Τὸ μὲν βάπτισμα ἄνευ διακρίσεως δίδοσθαι χρή, ἐπειδὴ λαμβάνει αὐτὸ τὰ βρέφη μόνον· τὸ δὲ κυριακὸν δεῖπνον φυλάξασθαι δεῖ τὸν διάκονον μή τινι διδῷ, ὃν ἂν ἀνάξιον πάντες εἰδῶσιν.

Δ. Διατί;

Μ. Ὅτι οὕτως ἂν αὐτὸ τὸ μυστήριον ἀτιμάζοιτο καὶ βεβηλοῖτο.

Δ. Ἀλλ' οὐχὶ καὶ τὸν Ἰούδαν, καίτοι πονηρὸν ὄντα, τούτου ἠξίωσεν ὁ Χριστός;

Μ. Πάνυ μὲν οὖν· ἀλλ' οὔπω φανερὰ ἦν ἡ αὐτοῦ πονηρία. καὶ γὰρ εἰ καὶ αὐτὴν ὁ Ἰησοῦς ᾔδει, ἀλλὰ τοὺς ἄλλους ἐλάνθανεν.

Πῶς



Δ. Πῶς οὖν δεῖ τοῖς ὑποκριταῖς προσφέρεσθαι;

Μ. Οὐκ ἔξεστι τῷ τοῦ εὐαγγελίου διακόνῳ ἀπείργειν αὐτούς, ἀλλὰ δεῖ αὐτὸν προσδοκᾷν ἕως ἂν τὴν κακίαν αὐτῶν ὁ Θεὸς πᾶσι φανερὰν καταστήσῃ.

Δ. Τί δὲ εἰ συνοιδέ τισιν ἀναξίοις οὖσιν, ἢ καὶ παρὰ τῶν εἰδότων ἔμαθε;

Μ. Οὐκ ἂν οὐδὲ τοῦτο ἀρκοῖ πρὸς τὸ ἀπελάσαι αὐτοὺς δύνασθαι. ἀλλὰ δεῖ ἀξιόχρεως μαρτυρίας προφέρειν, καὶ τὴν τῆς ἐκκλησίας γνώμην συγκαταθεμένην ἔχειν.

Δ. Ἀνάγκη οὖν διάταξίν τινα ἐν τῇ

ἐκκλησίᾳ ἔχειν ὁ περὶ τούτου.

Μ. Καὶ μάλα δή, εἴγε αὐτὴ ὀρθῶς καταστάσεως τυχεῖν μέλλοι. οὕτω δὲ τοῦτο γένοιτ' ἄν, ἐὰν ἄνδρας αἱρώμεθα, οἷς ἐπιμελὲς ἔσται ἐφορᾶν εἴ τινά που γίνοιτο σκάνδαλα· ἵνα οὗτοι, τῇ τῆς ἐκκλησίας ἐξουσίᾳ χρώμενοι, κοινωνίας ταύτης ἀποκλείωσι τοὺς ἀναξίους ὄντας καὶ τοιούτους ὥστε τὸν αὐτοὺς προσδεχόμενον, Θεῷ τε ἀτιμίαν περιτιθέναι, καὶ τοὺς πιστοὺς σκανδαλίζειν.

ΤΕΛΟΣ.

Προσευ-



## ΠΡΟΣΕΥΧΑΙ ΤΙΝΕΣ χριστιανικαί.

### Εὐχὴ ὄρθριος.

Ω Θεός μου ὁ πατήρ μου καὶ σωτὴρ ὤν, ἐπειδὴ ἔδωκάς μοι διανύσαντι τὴν νύκτα, μέχρι ταύτης τῆς ἡμέρας περιγενέσθαι, δός μοι καὶ νῦν τὸ δύνασθαι ταύτην διαπλεῖν λατρεύοντά σοι, ὥστε μηδὲν τὸ παράπαν διανοεῖσθαι, μηδὲ λαλεῖν, μηδὲ ποιεῖν, εἰ μὴ ἐφ' ᾧ εὐαρεστεῖν σοι, καὶ τῷ σῷ θελήματι πείθεσθαι. ὡς ἂν πάντα τὰ ἔργα μου πρὸς τὴν δόξαν τοῦ σοῦ ὀνόματος

καὶ

καὶ τὴν οἰκοδομὴν τοῦ πέλας ποιεῖν. ὥσπερ δὲ ἀξιοῖς τὰ ἡμῶν σώματα καταυγάσαι, τὰς τοῦ σοῦ ἡλίου ἀκτῖνας εἰς τὴν γῆν καταπέμπων. οὕτω καὶ τὴν ἐμὴν καρδίαν τῇ αὐγῇ τοῦ σοῦ πνεύματος φώτισον, τῇ πρὸς τὴν σὴν δικαιοσύνην ὁδηγησούσῃ με. καὶ οὕτως, ᾧ ἂν ποτε ἐγχειρήσω πράγματι, πρὸ πάντων ἀεὶ ὁ φόβος σου παρέστη μοι, καὶ πάντα πρὸς τὴν σὴν τιμὴν ἀναφέρω, οὐδὲν ἀγαθὸν ἄλλοθεν ἢ παρὰ τῆς σῆς χάριτος καὶ εὐλογίας προσδοκῶν· ἵνα μηδ' ὁτιοῦν ὁρμήσω πλὴν τῶν ἀρεσκόντων σοι, ποιεῖν· οὐ μὴν ἀλλὰ καὶ μεταξὺ πο-

νῶν



νῶν ἐπὶ τὸ πορίσασθαι τὰ πρὸς τὸν παρόντα βίον ἀναγκαῖα, περαιτέρω προβαίνω τῇ διανοίᾳ, ἀποβλέπων εἰς τὸν ἀΐδιον βίον, ὃν τοῖς σοῖς τέκνοις δώσειν ὑπέσχου. Δέομαι δέ σου καὶ ἵνα ὑπερασπίσῃς τοῦ τε σώματος καὶ τῆς ψυχῆς μου, ὁπλίζων με κατὰ τῶν τοῦ διαβόλου πειρασμῶν, καὶ ῥυόμενος ἐκ παντὸς κινδύνου. ἐπειδὴ δὲ οὐδὲν ὠφελεῖ τὸ ἄρξασθαι καλῶς ποιεῖν, ἐὰν μή τις διατελῇ, μὴ εἰς τὸ σήμερον μόνον προσδοίης ἐμοί, ἀλλὰ παρὰ πάντα τὸν βίον. ἐπίδοσιν καὶ ἐμοὶ καθ' ἑκάστην λαμβανούσης τῆς σῆς χάριτος, ἕως ἂν παντελῶς

ἑνώσῃς με τῷ υἱῷ σου Ἰησοῦ Χριστῷ, ὅς ἐστιν ὄντως ἥλιος τῶν ἡμετέρων ψυχῶν, λάμπων ἡμέρας τε καὶ νυκτὸς, καὶ εἰς τὸν ἀεὶ χρόνον. ἵνα δὲ τούτων παρὰ σου καταξιωθῶ, παρακαλῶ σε τῶν ἁμαρτηθέντων μοι ἀμνηστεῖν, καὶ διὰ τοῦ σοῦ ἀνεκδιηγήτου ἐλέους συγγνώμην ἐμοὶ ἔχειν, ὥσπερ ἐπηγγείλω ποιήσειν πᾶσιν ὅσοι ἂν ἐκ καρδίας ἐπικαλέσωνταί σε. εἰσάκουσόν μου πάτερ τῶν οἰκτιρμῶν, διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

Ἐκ



Ἐκ τοῦ ρμβ ψαλμοῦ.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι κύριε ὁδὸν, ἐν ᾗ πορεύσομαι, ὅτι πρός σε ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, κύριε. πρός σε κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου· τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

## ΕΥΧΗ ΤΟΥ ΦΟΙΤΩΝ-
## τος παιδὸς ἐς διδασ-
## κάλου.

Ἐκ τοῦ ριθ´ ψαλμοῦ.

Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.

Ἐν ὅλῃ τῇ καρδίᾳ μου ἐξεζήτησά σε· μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.

Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοί.

Εὐλογητὸς εἶ κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

καὶ



καὶ μετ' ὀλίγα,

Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. καὶ τὰ ἑξῆς.

Κύριε, ὁ πάσης παιδείας καὶ σοφίας ὢν πηγή, ὁ διδοὺς ἐμοὶ ἁπαλῷ ἔτι ὄντι διδασκάλους, τοὺς παιδεύοντάς με τὰ καλὰ τῶν μαθημάτων, ὅσα ἂν πρὸ ὁδοῦ γένοιτό μοι εἰς καλοῦ κἀγαθοῦ βίου διαγωγήν· μὴ ἀπαξιώσῃς με ἰδεῖν τοῦ σοῦ φωτός, ὑφ' οὗ ἀποσκεδασθέντος τοῦ ἐν τῇ ἐμῇ διανοίᾳ σκότους, δεκτικὸς ὦ τῆς δοθησομένης ἐμοὶ παιδείας. καὶ μὴν καὶ μνημονικόν με ποίησον μᾶλλον

ἢ πρότου, ἵνα μὴ αὐτῆς ἐπιλανθάνωμαι. ἔτι δὲ καὶ τοιαύτην τῇ καρδίᾳ μου διάθεσιν ἐμποίει, ὥστε με ἐπιδέχεσθαι αὐτὴν μετὰ προθυμίας πολλῆς· ὡς μὴ ὑπὸ ῥαθυμίας λάθω ὑστερήσας τῆς ὑπό σου διδομένης μοι εὐκαιρίας. τοιγαροῦν ἔγχεόν μοι τὸ σὸν πνεῦμα, τὸ πάσης νοήσεως, ἀληθείας, ὀρθῆς κρίσεως, φρονήσεως πρόξενον, μή πως μάτην πονῶ, μηδέ τι ἀνύσω διδάσκων με. παρακαλῶ δέ σε καὶ ἵνα ὁποιονδήποτ' οὖν τῶν μαθημάτων σχολάζων ὦ, τοῦτο πρὸς τὸν ὀρθὸν τῆς εὐσεβείας κανόνα ῥυθμίζω, ὅς ἐστι τὸ γινώσκειν σε ἐν τῷ κυρίῳ



κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, πρὸς τὸ πεποιθέναι πάντως τῇ σῇ χάριτι, ἐπ' αὐτῇ μόνῃ ἐλπίδας τῆς σωτηρίας καὶ τῆς ζωῆς ἔχοντα, καὶ τὴν εὐάρεστόν σοι θεραπείαν προσφέροντα· ὥστε πρὸς ταῦτα ἀντὶ ὀργάνου τῇ παιδείᾳ χρῆσθαι. ἐπειδὴ δὲ ἐπηγγείλω μὲν τοῖς ταπεινοῖς σοφίαν δώσειν, ἠπείληκας δὲ περιόψεσθαι τῶν ὑπερηφάνων ἐν τῷ ἰδίῳ νοὶ μωραινομένων· καὶ τοῖς μὲν ὀρθονόοις ἐμφανίσειν σεαυτὸν ἔφης, τοὺς δὲ πονηροὺς ἀποτυφλώσειν. καὶ τοῦτο αἰτοῦμαι παρά σου, ἵνα με πρὸς τὴν ἀληθῆ ταπεινοφροσύνην ἄγῃς, δι' ἧς εὐάγωγος καὶ εὐήνιος γένοι-

μὴν πρῶτον μὲν σοι, εἶτα δὲ τοῖς προ-
στατεύουσιν ἐμοῦ κατὰ τὴν σὴν διάταξιν.
Ἐπὶ πᾶσι δὲ τούτοις, ἐνεργάζου τῇ ἐμῇ
καρδίᾳ γνήσιον καὶ ἀληθῆ προθυμίαν
πρὸς τὸ ζητῆσαί σε, τὰς κακὰς ἐπιθυ-
μίας ἐξ αὐτῆς ῥιζηδὸν ἀποσπάσας· ἵνα
τὸ ἀπὸ τοῦδε παρασκευάζω ἐμαυτὸν εἶναι
ἐπιτήδειον ὑπηρετεῖν σοι πρὸς τὸ ἐπι-
τήδευμα, ὥσπερ ἂν ἀνδρωθεὶς ὑπὸ σοῦ
προσταχθῶ. Τὴν εὐχήν μου ἐπιτελῆ
ποίησον, ὦ πάτερ τῶν οἰκτιρμῶν, διὰ Ἰη-
σοῦ Χριστοῦ. Ἀμήν.

Ἐκ



Ἐκ τοῦ ΚΔ ψαλμοῦ.

Κραταίωμα κύριος τῶν φοβουμέ-
νων αὐτόν, καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει
αὐτοῖς.

## ΕΥΧΗ ΠΡΟ ΤΟΥ Α-
## πολαύειν τροφῆς.

Ὦ σὺ ἐπὶ γῆς πνείει καὶ αἰθέρος
ἠδὲ θαλάσσης,
χεῖρα τὴν κύδιστε ἄναξ πάντα δο-
νέει·
τὴν γῆν ὃν ἐκπετάσης, εὐθὺς τάρπησον
ἐδωδῆς.

τοὔνεκα νῦν σε μόνον βιότοιο δοτῆρα
καλοῦμεν.
κλῦθι πάτερ, ψυχῶν καὶ τροφεὺς ἅμα
σώμασιν εἴης.

Κύριε ἡμῶν, ὁ παντοίων ἀγαθῶν ταμεῖον ἀνέκλειπτον ὤν, μετάδος ἡμῖν τῆς σῆς εὐλογίας, ἁγιάζων τὰ ὑπό σου δοθέντα ἡμῖν, ὥστε αὐτοῖς χρῆσθαι ἡμᾶς καθαρῶς, καὶ πρὸς τὴν ἀναγκαίαν χρείαν μόνον κατὰ τὸ θέλημά σου, μὴ πρὸς γαστριμαργίαν καὶ παραχρῆσθαι, ὁμολογουμένους ἀεὶ ὅτι ὄντως πατὴρ ἡμῶν ὑπάρχεις, μόνος πάντων ἀγαθῶν χορηγός.

καὶ



καὶ ἡμᾶς καὶ μεταξὺ προσφερομένους τὴν σωματικὴν τροφήν, ὑπομίμνησκε ἀεὶ πάντων μάλιστα καὶ τῆς πνευματικῆς τοῦ σοῦ λόγου βρώσεως, ἵνα αἱ ψυχαὶ ἡμῶν εἰς ἐλπίδα τῆς αἰωνίου ζωῆς τρέφοιντο ἀμ. διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. Ἀμήν.

Δευτερ. η.

Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος. ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ.

ΕΥΧΑΡΙΣΤΙΑ ΜΕΤΑ
τὴν τροφήν.

Ἔθνεα πάντα Θεὸν καὶ πάντες μελψάτε λαοί.

Οὗτος ἀεὶ ἀγαθὸς παναληθής ἐστιν ἐλείμων.

Εὐχαριστοῦμέν σοι ὦ Θεὸς ἐπὶ πᾶσιν οἷς εὐεργετῶν ἡμᾶς καθ' ἑκάστην διατελεῖς· πρῶτον μὲν ὅτι ἡμᾶς ἐν τῷ παρόντι βίῳ διασώζεις, πάντα τὰ πρὸς αὐτὸν ἀναγκαῖα χορηγῶν· εἶτα δὲ καὶ οὐχ ἥκιστα ὅτι ἠξίωσας ἡμῖν παλιγγενεσίαν δοῦναι, εἰς ἐλπίδα κρείττονος βίου, ἣν διὰ τοῦ σοῦ εὐαγγελίου ἐφανέρωσας. Δεόμεθα δέ σου ἵνα μὴ ἐᾷς τοῖς βιωτικοῖς





κοῖς προσπεπτωκέναι ἡμᾶς, μᾶλλον δὲ τὰς ἡμετέρας καρδίας αἴρῃς ἄνω, πρὸς τὸ ἐκδέχεσθαι τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἄφιξιν, τοῦ ἐπὶ τῇ σωτηρίᾳ ἡμῶν οὐρανόθεν καταλυσομένου. Ἀμήν.

## ΕΥΧΗ ΕΠΙΚΟΙΤΙΟΣ.

Ὦ Θεὸς ὁ τῆς μὲν ἡμέρας τὸ φῶς τοῖς πόνοις, τὸ δὲ νυκτὸς τὸ σκότος τῇ τῶν πόνων ἀναπαύσει ἀποτάξας. Δός μοι τετραμμένῳ πρὸς ὕπνον, οὕτω διαναπαύειν ταύτῃ τῇ νυκτὶ τὸ ἐμὸν σῶμα, ὥς τε ἐν τούτῳ ἐγρηγορῆσαι τὴν ψυχήν μου ἀτενὲς πρός σε βλέπειν, ἐπὶ πόθῳ σου κα-

τέχεσθαι. μηδὲ ἐάσῃς με, πάσας τὰς
βιωτικὰς μερίμνας ἀποτέμνων πρὸς
τὸν ἥδιον ἀναπαύεσθαι, ἅμα καὶ σοῦ ἐπι-
λανθάνεσθαι· ἀλλ' ἀεὶ διὰ μνήμης ἔ-
χω τῆς σῆς ἀγαθότητα. ἵνα, ὥσπερ τὸ
σῶμα, οὕτω καὶ ἡ ἐμὴ συνείδησις ἀνά-
παυλαν λαμβάνῃ. κώλυσον δὲ καὶ τὸ ἐ-
μὸν σῶμα ἐν τρυφῇ τοῦ ὕπνου· ὅπως
ἂν μὴ ἀπολαύω πλέον αὐτοῦ, ἢ ὅσον
ἀρκεῖ τῇ τοῦ σώματος ἀσθενείᾳ, καὶ οὕ-
τως ἕτοιμος ὦ μᾶλλον καὶ εὔθετος πρὸς
τὴν σὴν θεραπείαν. τέλος δὲ, ἁγνόν με
τά τε κατὰ τὸ σῶμα καὶ τὰ κατὰ τὴν ψυχὴν
διατήρησον, καὶ πάντων κινδύνων ἀπάλ-
λαξον



λαξον, ἵνα καὶ ὁ ὕπνος μου πρὸς τὴν δό-
ξαν τοῦ σοῦ ὀνόματος ἀναφέρηται. ἐπει-
δὴ δὲ οὕτως εὐκαταφόρως πρὸς τὸ ἁμαρ-
τάνειν ἔχω, ὥστε οὐδὲ ταύτην τὴν ἡμέραν
δυνηθῆναι ἄπταιστος διαπερᾶν, δέο-
μαί σου, καθάπερ ὑπὸ τῆς νυκτὸς ζόφῳ
τὰ πάντα νῦν κεκάλυπται, οὕτω καὶ τὰ
ἐμὰ πταίσματα ὑπὸ σῷ ἐλέῳ ἀποκρύ-
πτειν, ὡς ἂν μὴ αὐτὰ τῆς πρὸς σὲ εἰσό-
δου ἀπείργῃ με. εἰσάκουσόν μου ὁ Θε-
ός μου, ὁ πατὴρ ἡμῶν καὶ σωτὴρ ἡμῶν,
διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.
Ἀμήν.

Ο πθ ψαλμὸς, ὃς ἐπιγράφεται, μωϋσέως προσευχή.

Ὦ ἄναξ ὑψιμέδων, ὃς ἀεὶ σκέπας ἠδὲ καὶ ἔρκος

Καὶ ἡμῖν πλέθεες ἐν τοῖς προγόνοισιν ἔνερθα,

Ἔπλεο μὲν τῶν πρὶν οὔρεα γῆν τε γενέσθαι,

Καὶ πέλες αἰὲ θεὸς καὶ ἔσσεται ἤματα πάντα.

Τοὺς ἡ μινυνθαδίου ἀγαγὼν ἐπὶ τέρματα ζωῆς

Ἀνθρώπους, εἰς γῆν κωφὴν ἐν ἀναυδέα λύεις·

Τοῖς γὰρ ἓν ἦμαρ ὅσον σοὶ χιλιὰς ἔστ' ἐνιαυτῶν.

Ρίμ-



Ῥίμφα δ' ἀνηρείψω, μεγάλη ὡς πλημμυρὶς, αὐτούς,

Ἐξαίφνης δὲ ἄϊστοι ἀπέπτασαν, ἠΰτ' ὄνειρος.

Ὡς χλόη, ἣν ἠῶς προσεδέρκετο πλευθίωσαν:

Κάρφεται ἠελίοιο ἐπὶ κνέφας ἐρχομένοιο.

Ὡς δ' ἄρ' ἀτασθαλίας προφέρεις, κρυπτὰς περ ἐούσας.

Κεῖτ' ὀλιγηπελέων, καί μιν τρόμος ἔλλαβε γυῖα.

Σου τε κοτεσσαμένοιο, παραυτίκα θυμὸν ὄλεσσεν.

Ἑπτὰ ἐτῶν δεκάδας μοῦνον μερόπεσσιν ἔδωκας,
Ἢ ὀκτὼ σύνολον, εἰ ὅτου πέρας ἔμμεναι αὐτοῖς.
Οὐ μὰν οὐδ' ἀκμὴ τούτων κακότητος ἄμοιρος.
Τίς δὲ σὴν ἄνθρωπος θανατὸς χόλον ἐξαλέασθαι;
Ὅσσῳ γὰρ σὺ βροτὸς φιλέει πλέον ἠδὲ φοβεῖται
Τόσσῳ τοι δοκέεις κεχολῶσθαι μᾶλλον ἐκείνῳ·
Τοὔνεκεν ἡμετέρων ἐτέων χρόνον ἄμμι δίδασκε,





Ὄφρα κε φρασσάμενοι τοῦτον, πεπνυμένοι ὦμεν.
Ἀλλὰ σὺ ἐς πότε ἄμμιν ὀδύσασθαι μενεαίνεις;
Ἱλήκοις θεὸς ἄμμι, πρόφρων θεὸς ἄμμι γένοιο.
Σὴν ἀγανοφροσύνην ἠὼς ἀπέρχοιτο φέρουσα.
Ἡμῖν μὲν τὸ πάροιθεν ἄναξ λυγρὰ κήδεα δῶκας,
Ἡμᾶς παμβασιλεῦ κρατερῇς παλάμῃσι δάμασσας.
Νῦν δ' εὐφροσύνῃ ἀνταλλάξειας ὀϊζύν.
Ἡμῖν σοῖς θεράπουσιν ὁμῶς ἡμῶν τε γενέθλῃ.

Δεῖξον προφρονέως ἀριδείκετα πάντοτε
ἔργα.
Τεύξεσι δ' ἡμετέροις αἰεὶ τέλος ἐσ-
θλὸν ὕπασσον.

ογ ψαλμὸς τοῦ Δαβίδ.

Ὦναξ ἀριθμὸς ἀνδρῶν
Ἀναρσίων πόσος μοι,
Πόσας ἐμοὶ ἀκωκὰς
Ἀντῆραν αἱ φάλαγγες.
Πολλοὶ ἐμοὶ λέγουσιν,
Οὐδὲν θεῷ μέλει σου,
Οὐ ῥύσεταί σε αὐτός.
Ἀλλ' οἶδα ὦ θεός μου
Ἀρωγὸν ὄντα σ' αἰεί.

Τοῖς δ' ὁσίοις πατὴρ
Ὡς κἀμ' ἴδα προβάλλη.
Κῦδος δ' ἐμοὶ ὀπάσσεις,
Ἐμοὶ τανῦν ἀτίμῳ·
Νέφος τε τοῦ ἄχους μου
Σκεδῶν ἀπ' ὀμμάτων μου,
Φαιδρωπὸν ἐκ κατηφοῦς
Θήσεις ἐμὸν πρόσωπον.
Εὖτ' ἄν σ' ἐγὼ βοήσω,
Ὄρους ἀφ' ἱεροῦ σὺ
Βοὴν ἐμὴν ἀκούσῃ·
Σοὶ δ' οὖν μόνῳ πεποιθὼς.
Τραπήσομαι πρὸς ὕπνον·
Καὶ ἀτρεμὴς ὑπνώσω.
Σακεσφόρος γὰρ εἷς μοι·
Οὐδ' ἂν πέριξ ἰδρῶμαι
Δισμυρίους ὁπλίτας.

Κατὰ

κατὰ φρένα ξομήσω·
Ἄγρει Θεὸς προσέρχου,
Ὃς πρὶν χειρὶ κραταιῇ
γνάθοις μέγα πνεοῦντας
Ἐχθρῶν ἐμῶν πατάσσων,
Ὀδόντας ἐξέθραυσας.
Σώζειν δ' ἄναξ σὺ μοῦνος,
Ὄλβον δ' ἄναξ σὺ μοῦνος
τῷ σῷ λεῷ παρέξαι.

Η κυριακὴ προσευχή.

Ὦ πάτερ ἡμέτερε κλυτὸν οὐρανὸν ὑψόθι ναίων,
Οὔνομα σὸν πλύμενον ἀεὶ κὴ πότνιον εἴη
Καὶ σε ἐρισθενέα θνητοῖς δείξειας ἄνακτα.
Ὡς δέ σοι οὐράνιοι πειθήνιοί εἰσιν ἅπαντες.



Ὣς καὶ ἐπιχθόνιοι σοὶ ὑπήκοοι ἄνδρες ἔοιεν.
Ἀλλὰ καὶ ἡμερίου δώτως βιότοιο χρείοιο
μηδ' ἡμᾶς κόλασον, κρινῶν γέ τοι ἄξια δρῶντας.
Οὐ γὰρ ἀμαυόμεθ' ἀνθρώπων ὅσοι ἄμμε κάκωσε.
Δὸς δ' ἔτι πειρασοῦ ἡμῖν καὶ δαίμονος ὅπλα,
Ὄφρα μὴ ἐκπλέῃ ἃ καθ' ἡμῶν μηχανάαται.
Μοῦνος γὰρ βασιλεύς, μοῦνος δὲ σὺ ἐσσὶ πανάλκης,
Ἄξιος ἐσσὶ μόνος τιμῆς ἐπὶ ἤματα πάντα.

ΤΕΛΟΣ.

BIBL. UNIV. WRATISL.

... sich zu gott gebracht
... machen ...
... dem thie ich mein ...
... leib vnnd seel
... ehr vnnd gutt das ...
gott ... seinen ...
vnnd dort in dem ewigen
leben

...

O Deus omnipotens
O Deus Assumptor
Alme Deus pater

BIBL. UNIW. WROCŁAW



Rudimenta fidei Christianae.

Theol. pract.
III
Nr. 691.








Rudimen
ta
fidei
christia
nae.
Theol. pract.
III

